πέρ (plerumque in thesi leg.) part. encl. *valde, admodum, vel, etiam* I) in sententiis secundariis 1) c. participiis: quamvis, etiamsi; a) postponitur XXII 131: τὸν μὲν ἄρα κρατέων περ ἀτάσθαλον οὐδὲν ἔρεξας. add. ἔμπης XXV 13: αὐτὰρ βουκολίοισι περιπλήθουσί περ ἔμπης | πάντεσσιν νομοὶ ὧδε τεθηλότες αἰὲν ἔασι, cf. Od. XIX 356: ἥ σε πόδας νίψει, ὀλιγηπελέουσά περ ἔμπης. — b) praemittitur participio, ita ut ad adiectivum potius videatur pertinere, XXII 97: (ἔσχεθε δ' ὁρμῆς) παῖδα Ποσειδάωνος ὑπερφίαλόν περ ἐόντα. XXIV 100. XXV 100. 147. 197. add. καί I 44: καὶ πολιῷ περ ἐόντι. XXII 153: αὐτὸς ἐγὼ τάδ' ἔειπα, καὶ οὐ πολύμυθος ἐών περ. XXV 112: καὶ ἄρρηκτόν περ ἔχων ἐν στήθεσι θυμόν. — 2) c. coniunctionibus a) εἰ si revera, si omnino XXV 173: εἰ ἐτεόν περ ἐγὼ μιμνήσκομαι. II 34: (καὶ τὸν ἐν Ἀιδᾳ) κινήσαις κ' ἀδάμαντα καὶ εἴ τί περ ἀσφαλὲς ἄλλο. VII 4. XXV 163 (ci.). — b) ὡς, v. ὥσπερ. — c) ἁνίκα quando vel maxime II 147: (ἦνθέ μοι) σάμερον, ἁνίκα πέρ τε ποτ' ὠρανὸν ἔτραχον ἵπποι, cf. Il. X 7: ὅτε πέρ τε. — 3) c. pron. relat. a) ὅς, v. ὅσπερ. — b) ὅσ(σ)ος quantus profecto, revera, eben VII 60: ὀρνίχων —, ὅσαις τε περ ἐξ ἁλὸς ἄγρα. XVII 39: (τόσον) ὅσσον περ Πτολεμαῖος ἑὴν ἐφίλησεν ἄκοιτιν. 66. XXVI 21. XXX 16: πάντ' ἔρδ', ὅσσα περ οἱ τῶν ἐτέων ἄρτια γεύμενοι. — II) in sententiis primariis 1) c. imper. XXV 34: ἀλλὰ σύ πέρ μοι ἔνισπε: profecto, utique; ubi quum opponatur voc. ἡμεῖς (v. 32), idem fere valet atque: tuam vicem. — 2) post compar. c. part. ἤ V 52: (ταὶ δὲ τραγεῖαι) ταὶ παρὰ τὶν ὅσδοντι κακώτερον ἤ τύ περ ὅσδεις.

πέρᾱν, πέρην *trans, ultra*, c. gen. XXV 19: (αὖλις) φαίνεται εὖ μάλα πᾶσι πέρην ποταμοῖο ῥέοντος. XVI 99: (κλέος φορέοιεν ἀοιδοί) καὶ πόντον Σκυθικοῖο πέραν.

περάω 1) trans. *transeo, penetro* XVII 47: (σέθεν δ' ἕνεκεν Βερενίκα) εὐειδὴς Ἀχέροντα πολύστονον οὐκ ἐπέρασεν. XV 44: ὦ θεοί, ὅσσος ὄχλος! πῶς καί ποκα τοῦτο περᾶσαι | χρὴ τὸ κακόν; — 2) intr. *penetro* II 90: ἐς τίνος οὐκ ἐπέρασα; 50: ἐς τόδε δῶμα περάσαι.

περί (περί et πέρι (bis) semper fere efficiunt pyrrhichium, iambum bis; eliditur vocalis more aeol. περ' XXV 242.) *circumcirca, ab omnibus partibus, eximie, prorsus;* I) adv. 1) *circum* in tmesi, v. περιβαίνω, περιελικτός, περιέρχομαι, περικαλύπτω,

περιφύω. — 2) *eximie, prorsus* II 82: χὠς ἴδον ὡς ἐμάνην ὥς μεν πέρι θυμὸς ἰάφθη (vulg. περὶ, Ahr. c. Tayloro et Graefio πυρί). — II) praep. (semel postponitur XXV 162; semel inter praep. et casum interponitur μέν.) A) c. gen. 1) *supra, prae, praeter* XXV 119: (ὤπασε δῶρον) ἀφνειὸν μήλοις περὶ πάντων ἔμμεναι ἀνδρῶν, cf. Od. VII 108: Φαίηκες περὶ πάντων ἴδριες ἀνδρῶν. — 2) *propter, de* XXV 82: οὐκ ἄν οἱ θηρῶν τις ἐδήρισεν περὶ τιμῆς, cf. Il. XII 423: ἐρίζητον περὶ ἴσης. — 3) *de*, apud verbum sentiendi XXV 162: ξεῖνε, πάλαι τινὰ πάγχυ σέθεν πέρι μῦθον ἀκούσας. — B) c. dat. 1) *circa*, um, an XXIV 43: (ξίφος, ὅ οἱ ὕπερθεν) κλιντῆρος κεδρίνου περὶ πασσάλῳ αἰὲν ἄωρτο. 74: πολλαὶ Ἀχαιιάδων μαλακὸν περὶ γούνατι νῆμα | χειρὶ καταρίψοντι. XX 23: χαῖται δ' οἷα σέλινα περὶ κροτάφοισι κέχυντο. VII 64: λευκοΐων στέφανον περὶ κρατὶ φυλάσσων. XXV 242: μακρὴν δὲ περ' ἰγνύησιν ἕλιξε | κέρκον. — 2) *de* I 54: περὶ πλέγματι γαθεῖ. XIII 55: ταρασσόμενος περὶ παιδί, cf. h. Cer. 77: ἀχνυμένην περὶ παιδί. — C) c. acc. *circa*, ita ut moveatur aliquid circa rem aut sine motu sit variis locis sive attingens sive non attingens; 1) XXIV 117: ἵππους δ' ἐξελάσασθαι ὑφ' ἅρματι καὶ περὶ νύσσαν | ἀσφαλέως κάμπτοντα τροχῷ σύριγγα φυλάξαι. VII 142: πωτῶντο ξουθαὶ περὶ πίδακας ἀμφὶ μέλισσαι, v. ἀμφί. XXII 81: περὶ γυῖα μακροὺς εἴλιξαν ἱμάντας. XXIV 30: τὼ δ' αὖτε σπείραισιν ἑλισσέσθην περὶ παῖδα. I 129: σύριγγα καλὰν (l. καλὸν) περὶ χεῖλος ἑλικτάν: 'fistulam, quam bene, pulchre circa labra versare potes, h. e. ita ut bene sonet'. XXV 148: ὁ δέ οἱ περὶ νεῦρα τανυσθεὶς | μυών. — 2) I 29: τῶ περὶ μὲν χείλη μαρύεται ὑψόθι κισσός. XV 65: περὶ τὰς θύρας ὅσσος ὅμιλος. XII 30: αἰεί οἱ περὶ τύμβον — κοῦροι ἐριδμαίνουσι. XXII 100: ἴδον ἕλκεα λυγρὰ περὶ στόμα τε γναθμούς τε. XI 9: ἄρτι γενειάσδων περὶ τὸ στόμα τὼς κροτάφως τε. XV 30: οὐ κεντεῖ τὸ φίλαμ', ἔτι οἱ περὶ χείλεα πυρρά.

περίαλλα adv. *prae aliis, eximie* XII 28: ὄλβιοι οἰκείοιτε, τὸν Ἀττικὸν ὡς περίαλλα | ξεῖνον ἐτιμήσασθε Διοκλέα.

περιβαίνω, aor. I *impono* aliquid, ita ut tanquam equo insideat; per tmesin XXV 213: (ἐπέλασσα κορώνῃ) νευρειήν, περὶ δ' ἰὸν ἐχέστονον εἶθαρ ἔβησα: ἀνέβαλον. Gloss.

περιβάλλω, med. *amplector* XVII 128: (ἄλοχος, τᾶς οὔτις ἀρείων) νυμφίον ἐν μεγάροισι γυνὰ περιβάλλετ' ἀγοστῷ.

περιγληνάομαι *oculorum pupillis collustro* XXV 241: ὁ δέ μ' εἶδε περιγληνώμενος ὄσσοις | θὴρ ἄμοτος.

περιελικτός *circumplicatus*, per tmesin II 122: (λεύκαν) πάντοθε πορφυρέαισι περὶ ζώστραισιν ἑλικτάν (vulg. περιζώστρῃσιν): ταινίαις περιειλημμένον ἔχων τὸν τῆς λεύκης στέφανον. Schol.

περιέρχομαι *circumeo, circumdo*, per tmesin XXV 260: περὶ γὰρ σκότος ὄσσε οἱ ἄμφω | ἦλθε.

περικαλλής *perpulcher* XVII 124: αὐτοὺς περικαλλέας ἠδ' ἐλέφαντι.

περικᾰλύπτω *circumvelo*, per tmesin XXV 176: (δέρμα δὲ θηρός) — ὅ τοι περὶ πλευρὰ καλύπτει.

περίκειμαι *circumdor, cingor*, met. XXIII 14: ὕβριν τᾶς ὀργᾶς περικείμενος: ἐνδεδυμένος. Gloss., cf. Od. IX 214: μεγάλην ἐπιειμένον ἀλκήν.[1]

περῐκλάω *infringo, inflecto* XXI 48: τὼ χέρε τεινόμενος περικλώμενος εὖρον ἀγῶνα (ex Herm. coni. scr. pro περικλώμενον v. περὶ κνώδαλον): 'prono corpore'.

περῑκλειτός *inclutus* XVII 34: περικλειτὰ Βερενίκα. Ep. XXII 3: υἱὸς Πραξαγόραο περικλειτῆς τε Φιλίνης.

περιλῐχμάω *circumlambo*, med. XXV 226: γλώσσῃ δὲ περιλιχμᾶτο γένειον.

Περιμήδα *Perimede* saga II 15: φάρμακα ταῦτ' ἔρδοισα χερείονα μήτε τι Κίρκης μήτε τι Μηδείας μήτε ξανθᾶς Περιμήδας: αὕτη ἐστὶν ἡ παρ' Ὁμήρῳ Ἀγαμήδη λεγομένη. Schol., cf. Il. XI 740: πρεσβυτάτην δὲ θύγατρ' εἶχε (Augiae) ξανθὴν Ἀγαμήδην, | ἣ τόσα φάρμακα ᾔδη, ὅσα τρέφει εὐρεῖα χθών. Propert. II 4, 7: non hic herba valet, non hic nocturna Cytaeis, non Perimedeae gramina cocta manus.

περιμήκης *praelongus, permagnus* XXV 23: εὐθὺς δὲ σταθμοὶ περιμήκεες ἀγροιώταις | δέδμηνθ'.

πέριξ *circumcirca* Ep. IV 8: ἔνθα πέριξ κέχυται βοτρυόπαις ἕλικι | ἄμπελος.

περιξέω *circum rado, polio* XXII 50: (πέτροι ὁλοίτροχοι, οὕστε κυλίνδων) χειμάρρους ποταμὸς μεγάλαις περιέξεσε δίναις.

περιπέλομαι *circumvolvor* XVII 127: (ὅγε μηρία καίει) μησὶ περιπλομένοισιν ἐρευθομένων ἐπὶ βωμῶν, ut apud Hom. de anno e. g. Od. XI 248: περιπλομένου δ' ἐνιαυτοῦ.

περιπετάννυμι *circum obtendo* I 55: παντᾷ δ' ἀμφὶ δέπας περιπέπταται ὑγρὸς ἄκανθος, cf. Verg. Ecl. III 45: et molli circum est ansas amplexus acantho.

περῐπλεκτος *perplexus* XVIII 7: ἄειδον δ' ἄρα πᾶσαι ἐς ἓν μέλος ἐγκροτέοισαι | ποσσὶ περιπλέκτοις: 'complexuque pedum quatiebant praepete terram'. Eob. Hess.

περῐπλήθω *sum frequens, numerosus* XXV 13: αὐτὰρ βουκολίοισι περιπλήθουσί περ ἔμπης | πάντεσσιν νόμοι ὧδε τεθηλότες αἰὲν ἔασι: πολὺ πλῆθος οὖσι. Gloss.

περίσπλαγχνος *animosus* XVI 56: περίσπλαγχνος Λαέρτης.

περισσαίνω *caudam moveo circa*, umwedele, de canibus XXV 72: (τὸν δὲ γέροντα) ἄγριον ἀσπάζοντο περίσσαινόν θ' ἑτέρωθεν, cf. Od. XVI 4: Τηλέμαχον δὲ περίσσαινον κύνες ὑλακόμωροι.

περισσός 1) *egregius, praestans* Ep. XVI 3: Ἀνακρέοντος εἰκόν' εἶδον ἐν Τέῳ | τῶν πρόσθ' εἴ τι περισσὸν ᾠδοποιοῦ. — 2) *supervacaneus, inutilis* XXI 15: οὐδὸς δ' οὐχὶ θύραν εἶχ', οὐ κύνα· πάντα περισσά, πάντ' ἐδόκει τήνοις· ἁ γὰρ πενία σφας ἐτήρει. — 3) *reliquus* XXVI 24: αἱ δ' ἄλλαι τὰ περισσὰ κρεανομέοντο γυναῖκες: sc. Penthei corporis, capite atque humero iam avulsis. — adv. **περισσῶς** *eximie, supra modum* Ad. 34: τούτους κόλαζε, Κύπρι — | τί γὰρ φέρω περισσῶς | ἐρωτικούς; — ὀδόντας.

περιστᾰδόν *circumstando* XXV 103: (ὁ μὲν) κωλοπέδιλ' ἀράρισκε περισταδὸν ἐγγὺς ἀμέλγειν, eodemque versus loco II 68; ut iam apud Hom. Il. XIII 551.

περιστέλλω *curo, prospicio, consulo* XV 74: ἐν καλῷ εἴης | ἄμμε περιστέλλων: ἐπιμελούμενος ἡμῶν. Schol. — Med. de agris colendis XVII 97: λαοὶ δ' ἔργα περιστέλλονται ἕκηλοι (vulg. περιστέλλουσιν).

Περιστέρη *Peristere,* femina quaedam morte filiae afflicta Ep. XXV 5: αἰαῖ ἐλεινὰ παθοῦσα Περιστέρη (var. Περιστερή, A. Fritzschius Περιστερί).

περιτρέχω *ambio*, pf. Ep. IV 5: σακὸς δὲ σκιερὸς περιδέδρομεν.

περιφείδομαι *parco* Ep. IX 1: ἄνθρωπε, ζωῆς περιφείδεο.

περῐφρων *valde prudens* III 45: μάτηρ ἁ χαρίεσσα περίφρονος Ἀλφεσιβοίης: in quarto pede, ut apud Hom. saepe.

περιφύω, intr. *circum nascor,* per tmesin XIII 40: περὶ δὲ θρύα πολλὰ πεφύκει.

περιώσιον, περιώσια adv. *eximie, valde* XVII 23: χαίρων υἱωνῶν περιώσιον υἱωνοῖσιν. XXV 125: (ἅπασαι) ζωοτόκοι τ' ἦσαν περιώσια θηλυτόκοι τε.

περόναμα v. **χέρνημα.**

περονᾱτρίς i. q. ἐμπερόναμα XV 21: ἀλλ' ἴθι, τὠμπέχονον καὶ τὰν περονατρίδα λάζευ.

περονάω *fibula subnecto, astringo;* med. XIV 65: εἴ τοι κατὰ δεξιὸν ὦμον ἀρέσκει | λῶπος ἄκρον περονᾶσθαι.

Περσεύς *Perseus,* Iovis filius, avus Alcmenae XXV 172: γένος δέ μιν (Herculem) εἶναι ἔφασκεν, | εἰ ἐτεόν περ μιμνήσκομαι, ἐκ Περσῆος.

Περσήιος *Persēus* XXIV 71: θάρσει, ἀριστοτόκεια γύναι, Περσήιον αἷμα. v. Περσεύς.

Πέρσης *Persa* XVII 19: (Ἀλέξανδρος) ἑδριάει Πέρσαισι βαρὺς θεὸς αἰολομίτραις (var. Πέρσῃσι).

πέρῠσιν *anno superiore* XV 98: ἅτις καὶ πέρυσιν τὸν ἰάλεμον ἀρίστευσε (e Reiskii coni. scr. pro vulg. Σπέρχιν). XXIX 26: ὀμνάσθην, ὅτι πέρυσιν ἦσθα νεώτερος: 'prima syllaba ictu metrico producitur', cf. ὑπέρ XXIX 25.

πέτᾰλον *folium* VII 9: (αἴγειροι κλῆθραί τε) χλωροῖσιν πετάλοισι κατηρεφέες κομόωσαι.

πετάννυμι *aperio* XVI 6: (τίς) ἡμετέρας Χάριτας πετάσας (sc. τὰς πύλας) ὑποδέξεται οἴκῳ;

πέταυρον v. **πέτευρον.**

πετεεινός, πετεηνός *volucer*, n. pl. *aves* XV 118: πάντ' αὐτῷ πετεεινὰ (var. πετεηνὰ) καὶ ἑρπετὰ τᾷδε πάρεστι. XII 7: (ἀηδών) συμπάντων λιγύφωνος ἀοιδοτάτη πετεηνῶν.

πέτευρον *tignum v. asser, super quo gallinae cubant* XIII 12: *ὁπόκ' ὀρτάλιχοι μινυροὶ ποτὶ κοῖτον ὀρῷεν, | σεισαμένας πτερὰ ματρὸς ἐπ' αἰθαλόεντι πετεύρῳ* (Ahr. c. var. *πετεύρῳ*).

πέτομαι *volo* XIV 40: (*χελιδών*) *ἄψορρον ταχινὰ πέτεται βίον ἄλλον ἀγείρειν.*

πέτρα (sg. *πέτρα, -ας, -ᾳ, -η.* pl. *πέτραισιν, πέτρας.* prioris syllabae vocalis ubique producitur, praeter X 7. XXII 27.) 1) *rupes* humo affixa I 8: (*τὸ καταχές*) *τῆν' ἀπὸ τᾶς πέτρας καταλείβεται ὑψόθεν ὕδωρ.* XXII 37: *εὗρον δ' ἀέναον κρήνην ὑπὸ λισσάδι πέτρῃ.* XXVI 10: *ἀλιβάτω πέτρας ἄπο.* XXIV 93: *ῥωγάδος ἐκ πέτρας.* Ep. I 4: *Δελφὶς — πέτρα.* sing. pro plurali VII 114: *πέτρᾳ ὕπο Βλεμύων.* plur. IX 26: *πέτραισιν ἐν Ὑκκαρίαισιν* (var. *πέτρῃσιν*). IX 16: *κοιλαῖς ἐν πέτραισιν* (var. *πέτρῃσιν*). — prope mare vel amnem: rupes, scopulus V 16: (*κατὰ τήνας*) *τᾶς πέτρας, ὤνθρωπε, μανεὶς εἰς Κρᾶθιν ἀλοίμαν.* XI 17: *καθεζόμενος δ' ἐπὶ πέτρας | ὑψηλᾶς ἐς πόντον ὁρῶν ἄειδε τοιαῦτα.* I 39: *γριπεύς τε γέρων πέτρα τε τέτυκται | λεπράς, ἐφ' ᾇ σπεύδων μέγα δίκτυον ἐς βόλον ἕλκει,* cf. XXI 42. VIII 55. plur. XXII 27: *προφυγοῦσα πέτρας εἰς ἓν ξυνιούσας | Ἀργώ*: h. e. *συμπληγάδας* v. *συνδρομάδας* (XIII 22). — 2) *lapis* XII 36: *Λυδίῃ ἶσον ἔχειν πέτρῃ στόμα,* v. *Λύδιος.* — 3) met. de animo duro X 7: *Μίλων ὀψαμάτα, πέτρας ἀπόκομμ' ἀτεράμνω,* cf. Il. XVI 34: *γλαυκὴ δέ σε τίκτε θάλασσα | πέτραι τ' ἠλίβατοι, ὅτι τοι νόος ἐστὶν ἀπηνής.*

πέτρος *saxum* XXII 49: (*μύες*) *ἕστασαν ἠύτε πέτροι ὀλοίτροχοι, οὕστε κυλίνδων | χειμάρρους ποταμὸς μεγάλαις περιέξεσε δίναις.*

πεύθομαι (praes. *πεύθονται.* fut. dor. *πευσεῖσθε.* aor. *πυθοίμην, -έσθαι*) 1) *audio, cognosco* XXV 217: *ὠρυγμοῖο πυθέσθαι.* III 51: *ὃς τοσσῆν' ἐκύρησεν, ὅσ' οὐ πευσεῖσθε βέβαλοι.* — 2) *exploro* XXV 49: *ᾧ κε τὸ μὲν εἴποιμι, τὸ δ' ἐκ φαμένοιο πυθοίμην.* XIII 36: (*πέτρῃ, χρυσὸν ὁποίῃ*) *πεύθονται μὴ φαυλὸς ἐτήτυμον ἀργυραμοιβοί*: 'aurum examinant'.

πεύκη *picea* XXII 40: *ὑψηλαὶ δὲ πεφύκεσαν ἀγχόθι πεῦκαι.* VII 88: *τὺ δ' ὑπὸ δρυσὶν ἢ ὑπὸ πεύκαις | ἁδὺ μελισδόμενος κατεκέκλισο, θεῖε Κομάτα,* cf. Il. XXIII 328: *ἢ δρυὸς ἢ πεύκης.*

πηδάω *feror cum impetu* XXV 251: *τηλοῦ δὲ μιῇ πήδησε σὺν ὁρμῇ* (*ὁ ἐρινεός*). (de VIII 42 v. *πλήθω.*)

Πηλεύς *Peleus,* pater Achillis XVII 55: *ἀλλὰ Θέτις βαθύκολπος ἀκοντιστὰν Ἀχιλῆα | Αἰακίδᾳ Πηλῆι* (*ἔτεκεν*).

πῆμα *calamitas, malum* XXV 199: *οἷον δ' ἀθανάτων τιν' ἐίσκομεν ἀνδράσι πῆμα | — Φορωνείδῃσιν ἐφεῖναι.*

Πηνειός *Penēus,* fluvius Thessaliae inter Olympum et Ossam perangusta valle in sinum Thermaeum influens I 67: *ἢ κατὰ Πηνειῶ καλὰ τέμπεα; ἢ κατὰ Πίνδω* (*ἦσθε*);

πηός v. *παός.*

πήποκα *unquam* VIII 34: (*αἴ τι Μενάλκας*) *πήποχ' ὁ συριγκτὰς προσφιλὲς ᾆσε μέλος.* XI 68: *οὐδὲν πήποχ' ὅλως ποτὶ τὶν φίλον εἶπεν ὑπὲρ μευ.*

πήρα *pera,* mantica pastoricia I 49: *ἐπὶ πήρᾳ | πάντα δόλον κεύθοισα.* 53: *μέλεται δέ οἱ οὔτε τι πήρας | οὔτε φυτῶν.* Ep. II 4: (*Δάφνις — ἄνθετο Πανὶ*) *νεβρίδα, τὰν πήραν, ᾇ ποκ' ἐμαλοφόρει.* plur. XV 19: *ἑπταδράχμως κυνάδας, γραιᾶν ἀποτίλματα πηρᾶν*: 'vellumina vetularum perarum'.

πιάζω (dor. pro *πιέζω*) *prehendo,* aor. dor. IV 35: *τηνεῖ καὶ τὸν ταῦρον ἀπ' ὤρεος ἄγε πιάξας | τᾶς ὁπλᾶς.*

πιαίνω *pinguefacio* VIII 39: *τοῦτο τὸ βουκόλιον πιαίνετε.*—Pass. *pinguesco* XVII 126: *πολλὰ δὲ πιανθέντα βοῶν ὅγε μηρία καίει.* de frugibus X 46: *ἐς Βορέην ἄνεμον τᾶς κόρθυος ἁ τομὰ ὔμμιν | ἢ Ζέφυρον βλεπέτω· πιαίνεται ὁ στάχυς οὕτως*: h. e. 'efficitur ut plane grandescant grana eius frumenti, quod ante maturitatem summam, ne excidant grana, desecatur'. A. Fr.

πῖδαξ *fons,* aqua saliens VII 142: *πωτῶντο ξουθαὶ περὶ πίδακας ἀμφὶ μέλισσαι.*

πιεζέω *premo* XXV 268: *πρὸς δ' οὖδας πτέρνῃσι πόδας στερεῶς ἐπιέζευν | οὐραίους ἐπιβάς* (pro *ἐπίεζον* e cod. 18 scr. Mein. provocans ad Od. XII 174 et 196, ubi Apio *πιέζευν*).

Πιερίδες *Pierides* h. e. Musae Pieriam incolentes XI 1: *οὐδὲν πὸτ τὸν ἔρωτα πεφύκει φάρμακον ἄλλο,* | *— ἤ ταὶ Πιερίδες.* X 24: *Μῶσαι Πιερίδες, συναείσατε τὰν ῥαδινάν μοι* | *παῖδ'.*

πίθος *dolium,* vas vinarium VII 147: *ἑπτάενες δὲ πίθων ἀπελύετο κρατὸς ἄλειφαρ.* X 13: *ἐκ πίθω ἀντλεῖς, δῆλον· ἐγὼ δ' ἔχω οὐδ' ἅλις ὄξος:* 'tu quidem hauris e dolio (vinum meracum'); *παροιμία ἐπὶ τῶν ἄφθονα ἐχόντων τὰ πράγματα.* Gloss.

πικραίνω *exacerbo* V 120: *ἤδη τις, Μόρσων, πικραίνεται· ἢ οὐχὶ παρῆσθευ;*

πικρός *acerbus, amarus* I [93]: (*τὸν αὐτῶ*) *ἄνυε πικρὸν ἔρωτα.* XXIII 5: (*Ἔρως*) *πικρὰ βέλη ποτὶ παιδία βάλλει.* de Pane I 17: *ἔστι δὲ πικρός,* | *καί οἱ ἀεὶ δριμεῖα χολὰ ποτὶ ῥινὶ κάθηται.*

πιλιπής *qui littera π caret* Syr. 4: *οὐ πιλιπὲς αἶθε πάρος φρένα σάκους:* 'ille cuius animum olim amore incendit Pinus (*Πίτυς*) Nympha'; *τέρμα σάκους* enim est i. q. *ἴτυς* v. *πίτυς* detracto *π*.

πίμπλημι *impleo* XXV 98: *σηκοὶ δὲ βοῶν ῥεῖα πλήσθησαν* | *εἰλιπόδων.* (de VIII 69 v. *πλήθω.*)

Πίνδος *Pindus,* mons inter Thessaliam et Epirum situs I 66: *πᾷ ποκ' ἄρ' ἦσθ', ὅκα Δάφνις ἐτάκετο, πᾷ ποκα Νύμφαι;* | *ἢ κατὰ Πηνειῶ καλὰ τέμπεα; ἢ κατὰ Πίνδω* (Ahr. coni. *Πίνδον*);

πινυτός *prudens* XVII 34: *οἵα δ' ἐν πινυταῖσι περικλειτὰ Βερενίκα* | *ἔπρεπε θηλυτέραις.* XXVII 1: *τὰν πινυτὰν Ἑλέναν.*

πίνω (praes. *πίνω, πινέμεναι.* ipf. *ἔπινες, -ομες.* fut. *πίομαι.* aor. *πιεῖν*) *bibo, poto* 1) de hominibus, abs. XIV 13: *ἐπίνομες —* | *ἐν χώρῳ παρ' ἐμίν.* 20: *ἄμμες μὲν φωνεῦντες ἐπίνομες, ὡς ἐδέδοκτο.* VII 69: *πίομαι μαλακῶς —* | *αὐταῖσιν κυλίκεσσι καὶ ἐς τρύγα χεῖλος ἐρείδων.* XII 53: *τὸν τὸ πιεῖν ἐγχεῦντα:* 'potum, son boire'. — c. acc. XI 35: *γάλα πίνω.* XVIII 11: *ἦ ῥα πολύν τιν' ἔπινες* (sc. *οἶνον*); — c. gen. XXII 62: *δαιμόνι', οὐδ' ἂν τοῦδε πιεῖν ὕδατος σύγε δοίης;* — 2) de animalibus: bibo, sugo XXV 104: *ἄλλος δ' αὖ νέα τέκνα φίλαις ὑπὸ μητράσιν ἵει* | *πινέμεναι λαροῖο μεμαότα πάγχυ γάλακτος.* v. *ἐκπίνω.*

πίπτω (praes. *πίπτῃ.* aor. *ἔπεσεν, πεσεν. πεσών, -όντος*) *cado* 1) de animantibus XXV 258: *πέσεν δ' ὅγε* (leo) *πρὶν ἔμ' ἱκέσθαι* | *ὑψόθεν ἐν γαίῃ.* de mortuis: concido III 53: *κεισεῦμαι δὲ πεσών.* XXIV 5: (*Πτερελάου*) *Ἀμφιτρύων καλὸν ὅπλον ἀπεσκύλευσε πεσόντος.* — 2) de rebus XXV 239: (*ἰός*) *ἔπεσε προπάροιθε ποδῶν ἀνεμώλιος αὔτως.* XXIII 31: *ἁ δὲ χιὼν λευκά, καὶ τάκεται ἁνίκα πίπτῃ* (vulg. *παχθῇ,* v. *πάγνυμι* 3)).

Πῖσα *Pisa,* urbs Elea prope Olympiam sita, antiquis temporibus deleta IV 29: *ποτὶ Πῖσαν ἀφέρπων* | *δῶρον ἐμοί νιν ἔλειπεν:* 'ad ludos Olympicos'.

πισεύς *palustrium regionum incola* XXV 201: *πάντας γὰρ πισῆας ἐπικλύζων ποταμὸς ὥς* | *λῖς ἄμοτος κεράιζε* (e Mein. et Ziegleri emend. scr. pro *πεισῆας*).

πίσσα *pix* XIV 51: *νῦν δὲ πόθεν; μῦς, φαντί, Θυώνιχε, γεύμεθα πίσσας: παροιμία ἐστί· λέγεται δὲ ἐπὶ τῶν εἰς ἀηδὲς πρᾶγμα ἐμπιπτόντων καὶ κακῶς ἀπαλλασσομένων.* Schol.

πιστεύω *fidem habeo, credo* V 20: *αἴ τοι πιστεύσαιμι, τὰ Δάφνιδος ἄλγε' ἀροίμαν.*

πιστός *fretus, fidelis* XXVII 62: *Ἄρτεμι, μὴ νεμέσα σοῖς ῥήμασιν οὐκέτι πιστῇ* (ex Ahr. coni. scr. pro vulg. *σὴ ἐρημιὰς οὐκέτι πιστή*).

πίτυλος *pulsus remorum* ad ictum pugnorum transfertur XXII 127: *αἰεὶ δ' ὀξυτέρῳ πιτύλῳ δηλεῖτο πρόσωπον,* cf. Aesch. Sept. 862 (855): *ἐρέσσετ' ἀμφὶ κρατὶ πόμπιμον χεροῖν πίτυλον.*

πίτυρον *furfur* II 33: *νῦν θυσῶ τὰ πίτυρα:* 'furfures in talibus sacris etiam apud Demosth. de Cor. p. 313 commemorantur; praeterea eorum usus erat in mysteriis, in quibus qui initiabantur furfuribus illinebantur.' A. Fr.

πίτυς *pinus pinea L.* I 1: *ἁδύ τι τὸ ψιθύρισμα καὶ ἁ πίτυς, αἰπόλε, τήνα,* | *ἃ ποτὶ ταῖς παγαῖσι μελίσδεται.* V 49: *βάλλει δὲ καὶ ἁ πίτυς ὑψόθε κώνοις.* I [134]. III 38: *ᾀσεῦμαι ποτὶ τὰν πίτυν ὧδ' ἀποκλινθείς.* — Pinus Nympha significatur Syr. 4, v. *πιλιπής.*

πίων (sg. m. *πίονι, -α.* f. *πιεῖρα.* n. *πίονος, -ι.* pl. m. *πίονες, -ας.*

n. *πίονα*) 1) *pinguis, opimus* XXV 86: *τὰ δ' ἐπήλυθε πίονα μῆλα | ἐκ βοτάνης ἀνιόντα*, ut apud Hom. saepius. XXV 106: *ἄλλος ἀμόλγιον εἶχ', ἄλλος τρέφε πίονα τυρόν.* — 2) *opulentus, opimus* XVII 106: *δόμῳ ἐνὶ πίονι.* VII 143: *πάντ' ὦσδεν θέρεος μάλα πίονος.* 33: *μάλα γὰρ σφίσι πίονι μέτρῳ | ἁ δαίμων εὔκριθον ἀνεπλήρωσεν ἀλωάν.* — 3) *fertilis* XXV 97: *στείνοντο δὲ πίονες ἀγροί | μυκηθμῷ.* 153: *πίονας ἀγρούς*, ut apud Hom. saepius. XVIII 29: *πιείρᾳ ἅτε λᾶον ἀνέδραμε κόσμος ἀρούρᾳ*, cf. Od. II 328: *πίειραν ἄρουραν.*

πλᾰγίαυλος *tibia obliqua* XX 29: *κὴν αὐλῷ δονέω, κὴν δώνακι, κὴν πλαγιαύλῳ*, cf. Bio. III 7: *ὡς εὗρε πλαγίαυλον ὁ Πάν, ὡς αὐλὸν Ἀθάνα.*

πλάζω, pass. *erro, vagor* XX 41: *οὐχὶ δὲ καὶ τύ, | ὦ Κρονίδα, διὰ παῖδα βοηνόμον ὄρνις ἐπλάγχθης;*

πλᾰθᾰνον *orbis v. discus, super quo panes fingunt formantque* XV 115: *εἴδατα δ' ὅσσα γυναῖκες ἐπὶ πλαθάνῳ πονέονται.*

πλακερός v. **πλοκερός.**

πλᾱν 1) *praeterquam* V 84: *πλὰν δύο τὰς λοιπὰς διδυματόκος αἶγας ἀμέλγω*, ubi voc. *δύο* etiam genet. esse posse concedimus; v. *δύο.* in principio sententiae XIV 52: *χὤτι τὸ φάρμακόν ἐστιν ἀμηχανέοντος ἔρωτος, | οὐκ οἶδα. πλὰν Σῖμος ὁ τᾶς Ὑποχάλκω ἐρασθείς* (sc. *ἐξέπλευσε*): praeterquam quod. — 2) *praeter*, c. gen. XV 94: *μὴ φύη, Μελιτῶδες, ὃς ἁμῶν καρτερὸς εἴη, | πλὰν ἑνός.*

πλᾰνάομαι 1) *vagor* IX [4]: *χοἱ μὲν ἁμᾶ βόσκοιντο καὶ ἐν φύλλοισι πλανῷντο.* — 2) *deerro* XV 67: *πότεχ' αὐτᾶ, μή τι πλαναθῇς.*

πλάνος *fallax, fraudulentus* XXI 43: (*ἐδόκευον*) *ἰχθύας, ἐκ καλάμων δὲ πλάνον κατέσειον ἐδωδάν.*

πλάσσω *formo* XXIV 107: *αὐτὰρ ἀοιδὸν ἔθηκε καὶ ἄμφω χεῖρας ἔπλασσε | πυξίνᾳ ἐν φόρμιγγι Φιλαμμονίδας Εὔμολπος.* (de VII 44 v. *καίνυμαι.*)

πλᾰτᾰγέω 1) *crepito, fragorem edo* III 29: *οὐδὲ τὸ τηλέφιλον ποτεμάξατό τι πλαταγῆσαν* (e coni. scr. A. Fritzschius pro vulg. *τὸ πλατάγημα*). — 2) *manus complodo* VIII 88: *ὡς μὲν ὁ παῖς ἐχάρη καὶ ἀνάλατο καὶ πλατάγησε | νικάσας.*

πλατάγημα v. **πλαταγέω.**

πλᾰτᾰγώνιον *folium papaveris* XI 56: *ἔφερον δέ τοι ἢ κρίνα λευκά | ἢ μάκων' ἁπαλὰν ἐρυθρὰ πλαταγώνι' ἔχοισαν*: 'folia quae collisa ac displosa strepunt et de fide amatoris edunt testimonium'; cf. III 29.

πλᾰτᾰνιστος *platanus orientalis L.* XXV 20: *κείνῃ, ὅθι πλατάνιστοι ἐπηεταναὶ πεφύασι.* XXII 76: *οἱ δὲ θοῶς συνάγερθεν ὑπὸ σκιερὰς πλατανίστους.* XVIII 43: *πρᾶτα τοι στέφανον λωτῶ χαμαὶ αὐξομένοιο | πλέξασαι σκιερὰν καταθήσομες ἐς πλατάνιστον, | πρᾶτα δ' ἀργυρέας ἐξ ὄλπιδος ὑγρὸν ἄλειφαρ | λαζύμεναι σταξεῦμες ὑπὸ σκιερὰν πλατάνιστον*: *σοὶ πλέξασαι στέφανον κρεμάσομεν ἀπὸ τῆς πλατάνου τῆς ἐν τῷ γυμνασίῳ.* Schol., cf. Arist. Nub. 1005—8. Iahn. Annal. 1860 p. 371.

πλᾰτᾰνος i. q. *πλατάνιστος* XXII 40: *ὑψηλαὶ δὲ πεφύκεσαν ἀγχόθι πεῦκαι | λεῦκαί τε πλάτανοί τε καὶ ἀκρόκομοι κυπάρισσοι.*

πλᾰτειάσδω (aeol. pro *πλατειάζω*) *ore in latum diducto loquor*, de mulieribus XV 88: *ἐκκναισεῦντι πλατειάσδοισαι ἅπαντα*: *Δωρίζουσαι· οἱ γὰρ Δωριεῖς πλατυστομοῦσι τὸ α πλεονάζοντες.* Schol.

πλᾰτίον *prope*, c. artic. *ὁ πλᾰτίον* proximus, vicinus X 3: *οὔθ' ἅμα λᾳοτομεῖς τῷ πλατίον.* V 28: *ὅστις νικασεῖν τὸν πλατίον ὡς τὺ πεποίθεις.*

πλᾰτύς (bis brevis vocalis ante h. v. producitur.) *latus, spatiosus* 1) de regionibus et rebus XVII 102: *τοῖος ἀνὴρ πλατέεσσιν ἐνίδρυται πεδίοισι | ξανθοκόμας Πτολεμαῖος.* XVI 99: *πλατὺ τεῖχος.* XXIV 15: *ὦρσεν ἐπὶ πλατὺν οὐδόν.* XXII 101: *πλατὺ φάσγανον.* — 2) de membris corporis XXIV 78: *ἀπὸ στέρνων πλατὺς ἥρως*: Hercules. XXII 46: *στήθεα δ' ἐσφαίρωτο πελώρια καὶ πλατὺ νῶτον | σαρκὶ σιδηρείῃ.* 121: *πλατὺ γυῖον*: 'latum pugnum'. XI 33: *πλατεῖα δὲ ῥὶς ἐπὶ χείλει.*

πλέγμα *opus vitile* I 54: (*τὸ παιδίον*) *περὶ πλέγματι γαθεῖ*: refertur ad v. 52: *καλὰν πλέκει ἀκριδοθήραν.*

Πλειάς *Pleias, septentrio* Ep. IX 5: *δύσιν δ' ὑπὸ Πλειάδος αὐτήν | ποντοπορῶν αὐτῇ Πλειάδι συγκατέδυς.*

πλεῖος, πλέος *plenus*, c. gen. IX 33: *τᾶς μοι πᾶς εἴη πλεῖος δόμος*, cf. Od. IV 319: *δυσμενέων δ' ἀν-*

δρῶν πλεῖος δόμος. V 59: ὀκτὼ δὲ σκαφίδας μέλιτος πλέα κηρί' ἐχοίσας.

πλεκτός *plexus*, de tugurio piscatorio XXI 7: στρωσάμενοι βρύον αὖον ὑπὸ πλεκταῖς καλύβαισι, cf. Aesch. Prom. 709: πλεκτὰς στέγας Scytharum.

πλέκω *plecto, necto* XVIII 43: στέφανον λωτῶ χαμαὶ αὐξομένοιο | πλέξασαι. XI 73: αἴθ' ἐνθὼν ταλάρως τε πλέκοις. I 52: αὐτὰρ ὅγ' ἀνθερίκοισι καλὰν πλέκει ἀκριδοθήραν | σχοίνῳ ἐφαρμόσδων.

πλεύμων v. **πνεύμων**.

πλευρά *latus* hominis VII 107: (μή τί τυ παῖδες) Ἀρκαδικοὶ σκίλλαισιν ὑπὸ πλευράς τε καὶ ὤμους | τανίκα μαστίσδοιεν, cf. Il. XXIII 716: σμώδιγγες ἀνὰ πλευράς τε καὶ ὤμους. VII 144: παρὰ πλευραῖσι δὲ μάλα | δαψιλέως ἁμῖν ἐκυλίνδετο (var. πλευρῇσι). (de XXV 269 v. πλευρόν.)

πλευρόν *latus, costa* hominis XXV 176: (δέρμα) ὅ τοι περὶ πλευρὰ καλύπτει. 144: χρίμψασθαι ποτὶ πλευρὰ (Herculis) κάρη στιβαρόν τε μέτωπον. animalis XXV 269: μηροῖσι δὲ πλεύρ' ἐφύλασσον (e coni. Briggsii scr. pro πλευρῇσί τε μῆρ'): leonis.

πλευστικός *aptus ad navigandum* XIII 52: κουφότερ' ὦ παῖδες ποιεῖσθ' ὅπλα· πλευστικὸς οὖρος.

πλέω *navigo* XI 61: αἴκα τις σὺν ναῒ πλέων ξένος ὧδ' ἀφίκηται. fut. dor. XIV 55: πλευσοῦμαι κἠγὼν διαπόντιος (πλευσεῦμαι c. var. Morsbach. Diss. de dial. Theocr. Bonnae 1874 p. 74, βασεῦμαι e coni. Ahr.). XIII 16: τὸ χρύσειον ἔπλει μετὰ κῶας Ἰήσων.

πληγή *ictus, verber* XXII 98: ἔστη δὲ πληγαῖς μεθύων. 110: ὁ δ' ἀεικέσι πληγαῖς | πᾶν συνέφυρε πρόσωπον, cf. Il. II 264: πεπληγὼς — ἀεικέσσι πληγῇσιν.

πλήθω (praes. ind. πλήθετε,-ουσιν. pf. πεπληθυῖαν) *plenus sum* VIII 41: παντᾷ δὲ γάλακτος | οὔθατα πλήθουσιν (var. πηδῶσιν, Ahr. e coni. πιδῶσιν). 69: τὰ δ' οὔθατα πλήθετε πᾶσαι (e Med. scr. A. Fritzschius, vulg. πλήσατε). XXII 38: (κρήνην) ὕδατι πεπληθυῖαν ἀκηράτῳ. — met. XXVII 24: γάμοι πλήθουσιν ἀνίας.

πλήρης *plenus* I 146: πλῆρές τοι μέλιτος τὸ καλὸν στόμα, Θύρσι, γένοιτο, | πλῆρές τοι σχαδόνων.

πληρόω *impleo* VIII 45: ἔνθα μέλισσαι | σμάνεα πληροῦσιν. 86: (αἶγα) ἅτις ὑπὲρ κεφαλᾶς αἰεὶ τὸν ἀμολγέα πληροῖ. c. gen. V 86: Λάκων τοι ταλάρως σχεδὸν εἴκατι πληροῖ | τυρῶ.

πλήσσω *verbero, percutio* cominus 1) manu XXII 123: στιβαρῇ δ' ἅμα χειρί | πλῆξεν ὑπὸ σκαιὸν κρόταφον. 105: αὐταρ ὁ πληγείς | ὕπτιος ἐν φύλλοισι τεθηλόσιν ἐξετανύσθη. — 2) gladio XXII 198: ὁ δὲ πληγεὶς ξίφος ἔκβαλεν.

πλίνθος *later* XVI 62: ὕδατι νίζειν θολερὰν διαειδέϊ πλίνθον, cf. Ter. Phorm. I 4, 9: laterem lavem.

πλοκαμίς *coma intorta, cincinni* XIII 7: (ἤρατο παιδός,) τῶ χαρίεντος Ὕλα, τῶ τὰν πλοκαμῖδα φορεῦντος.

πλοκερός *plexus* VII 17: ἀμφὶ δέ οἱ στήθεσσι γέρων ἐσφίγγετο πέπλος | ζωστῆρι πλοκερῷ (vulg. πλακερῷ): 'plexo cingulo, funiculo, ut fit apud homines rusticos'.

πλόος *navigatio* XXVIII 5: τυῖδε γὰρ πλόον εὐάνεμον αἰτήμεθα πὰρ Δίος. XXII 22. VII 51: ἔσσεται Ἀγεάνακτι καλὸς πλόος ἐς Μυτιλήναν. 61.

πλοῦτος 1) *divitiae* XVII 106: οὐ μὰν ἀχρεῖός γε δόμῳ ἐνὶ πίονι χρυσός | μυρμάκων ἅτε πλοῦτος ἀεὶ κέχυται μογεόντων, cf. XVI 23. XXI 14: οὗτος τοῖς ἁλιεῦσιν ὁ πᾶς πόρος, οὗτος ὁ πλοῦτος. — 2) **Πλοῦτος** *Plutus* deus, divitiarum praeses X 19: τυφλὸς δ' οὐκ αὐτὸς ὁ Πλοῦτος, | ἀλλὰ καὶ ὠφρόντιστος Ἔρως.

πλύνω *lavo, abluo* XXVII 5: τὸ στόμα μευ πλύνω καὶ ἀποπτύω τὸ φίλαμα. | πλύνεις χείλεα σεῖο; δίδου πάλιν ὄφρα φιλάσω. — met. I 149: θᾶσαι, φίλος, ὡς καλὸν ὄσδει (τὸ δέπας)· Ὡρᾶν πεπλύσθαι νιν ἐπὶ κράναισι δοκησεῖς (var. πεπλύνθαι, cf. tamen exempla perf. πέπλυμαι a Lobeckio collecta Paralip. p. 419): 'laverunt, quo gratiam ei insignem conciliarent'; ἐς τοσοῦτον γὰρ κάλλος ἐξήσκηται. Gloss.

πνεῦμα *spiritus, flatus* VIII 76: ἁδεῖ' ἁ φωνὰ τᾶς πόρτιος, ἁδὺ τὸ πνεῦμα: 'flatus mitis ventorum nimios calores temperantium'. — de flatu fistulae Ep. V 4: Δάφνις κηροδέτῳ πνεύματι μελπόμενος.

πνεύμων *pulmo* XXV 237: μεσσηγὺς δ' ἔβαλον στηθέων, ὅθι πνεύμονος ἕδρη (Ahr. e cod. D πλεύμονος).

πνέω 1) *flo, spiro* XII 10: εἴθ' ὅμαλοι πνεύσειαν ἐπ' ἀμφοτέροισιν Ἔρωτες | νῷιν, cf. Tib. II 1, 80: at ille felix, cui placidus leniter afflat

Amor. — c. acc. met. XVIII 54: εὕδετ' ἐς ἀλλάλων στέρνον φιλότητα πνέοντες | καὶ πόθον. XXII 82: φόνον ἀλλήλοισι πνέοντες. — 2) *odorem spiro, redoleo* XVIII 40: στεφάνως δρεψοίμεναι ἁδὺ πνέοντας. met. XXIX 19: ἄνδρων τῶν ὑπερανορέων δοκίμοις πνέειν: 'redolere videris consuetudinem virorum elegantiorum'.

πνοιή *flatus, ventus* XXII 16: (θάλασσα) κοπτομένα πνοιαῖς τε καὶ ἀρρήκτοισι χαλάζαις. 167: τὰ δ' εἰς ὑγρὸν ᾤχετο κῦμα | πνοιὴ ἔχουσ' ἀνέμοιο, v. ἄνεμος.

ποδεών *petiolus* XXII 51: αὐτὰρ ὑπὲρ νώτοιο καὶ αὐχένος ᾐωρεῖτο | ἄκρων δέρμα λέοντος ἀφημμένον ἐκ ποδεώνων.

ποθέ (pro ποθέν) *alicunde* V 62: τίς κρινεῖ; αἴθ' ἔνθοι ποθ' ὁ βουκόλος ὧδ' ὁ Λυκώπας (Ahr. ποθ'). XIV 27: χἀμὶν τοῦτο δι' ὠτὸς ἔγεντό ποθ' ἀσυχᾷ οὑτῶς (var. ποχ').

ποθεινός *exoptatus* XV 104: βάρδισται μακάρων Ὧραι φίλαι, ἀλλὰ ποθειναὶ | ἔρχονται πάντεσσι βροτοῖς αἰεί τι φορεῦσαι.

πόθεν *unde* XV 89: μᾶ, πόθεν ὥνθρωπος; XIV 50: κεἰ μὲν ἀποστέρξαιμι, τὰ πάντα κεν εἰς δέον ἕρποι. | νῦν δὲ πόθεν (sc. γένοιτο); XVI 16: πᾶς δ' ὑπὸ κόλπῳ χεῖρας ἔχων πόθεν οἴσεται ἀθρεῖ | ἄργυρον. — c. verbis incipiendi XVII 10: παπταίνει, παρεόντος ἄδην, πόθεν ἄρξεται ἔργον. II 64: πόθεν τὸν ἔρωτα δακρύσω;: h. e. πόθεν ἀρξαμένα.

ποθέρπω *accedo, procedo* IV 48: ἴδ' αὖ πάλιν ἅδε ποθέρπει: vacca. — met. V 37: ἴδ' ἁ χάρις ἐς τί ποθέρπει (var. ποθ' ἕρπει): 'quo procedat h. e. quam nullam vim iam habeat'.

ποθέσπερος *vespertinus*, n. pl. pro adv. VIII 16: τὰ δὲ μᾶλα ποθέσπερα πάντ' ἀριθμεῦντι: 'sub vesperum'. add. art. τὰ ποθέσπερα eadem significatione IV 3. V 113. Ahrensius ubique scr. ποθ' ἕσπερα.

ποθέω (praes. ποθεῖ, -εῦντι. ποθῶν, -έοντι, -εῦντες. ποθέουσα, -έοισαι. aor. inf. ποθέσαι) *desidero* hominem vel rem IV 12: ταὶ δαμάλαι δ' αὐτὸν μυκώμεναι αἶδε ποθεῦντι. Ep. XXV 3: ποθέουσα τὸν εἰκοσάμηνον ἀδελφόν (mortuum). XVIII 42: ἄρνες γειναμένας ὄιος μαστὸν ποθέοισαι. XXII 171: εἰ δ' ὑμῖν κραδίη πόλεμον ποθεῖ. — imprimis: amatum desidero, amo XII 2: οἱ δὲ ποθεῦντες ἐν ἤματι γηράσκουσιν: οἱ ἐρῶντες. Schol., XVII 52: κούφας δὲ διδοῖ ποθέοντι μερίμνας. c. acc. X 8. XIII 65.

ποθίκω *accedo, convenio* II 4: ὅς μοι δωδεκαταῖος ἀφ' ὦ τάλας οὐδὲ ποθίκει (e Mein. emend. scr. pro οὐδὲ ποθήκει, οὐδέποθ' ἥκει, οὐδέποθ' ἵκει): 'ne gradum quidem huc, ad me, vertit'.

ποθοράω, dor. **ποθορέω** (praes. ind. ποθόρημι, -ησθα, -ῇ. ποθορεῦσα. aor. ποτεῖδον, ποτιδεῖν, aeol. ποτίδην XXX 9) *adspicio* XV 12: ὅρη, γύναι, ὡς ποθορῇ τυ. XXX 9: αἰδεσθεὶς ποτίδην μ' ἀντίος. II 157. V 85. suppl. acc. VI 25: καὶ αὐτὸς ἐγὼ κνίζων πάλιν οὐ ποθόρημι. (de VI 22 v. ὁράω.) XI 20: (Γαλάτεια) λευκοτέρα πακτᾶς ποτιδεῖν. cum notione respectus III 39: καί κέ μ' ἴσως ποτίδοι, ἐπεὶ οὐκ ἀδαμαντίνα ἐστί. VI 8. — c. adi. pro adv. III 18: ὦ τὸ καλὸν ποθορεῦσα (Ahr. c. var. ποθορῶσα, ut V 85).

πόθος (sg. πόθος, -οιο, -ω, -ον. pl. πόθους) *desiderium* X 9: τίς δὲ πόθος τῶν ἔκτοθεν ἐργάτᾳ ἀνδρί; plerumque pro cupidine XXIX 40: πανσάμενος χαλέπω πόθω. XVIII 54: φιλότητα πνέοντες | καὶ πόθον. II 143: ἐς πόθον ἤνθομες ἄμφω: 'voti potiti sumus'. XXIII 26. Syr. 8. c. gen. VIII 59: ἀνδρὶ δὲ παρθενικᾶς ἀπαλᾶς πόθος (κακόν ἐστι). XXX 22: τῷ δ' ὁ πόθος καὶ τὸν ἔσω μύελον ἐσθίει. II 150. VII 99. Syr. 5. plur. Ep. IV 14: τοὺς Δάφνιδος — πόθους.

ποία, ποίη (ποία, -ας, -ᾳ, -ῃ, -ην) *herba, gramen, pabulum* XXV 231: χλωρῇ δὲ παλίσσυτον ἔμπεσε ποίῃ (βέλος). VI 45: ὀρχεῦντ' ἐν μαλακᾷ ταὶ πόρτιες αὐτίκα ποίᾳ. VIII 67: ταὶ δ' ὄιες, μηδ' ὔμμες ὀκνεῖθ' ἀπαλᾶς κορέσασθαι | ποίας. XXV 132: (ταῦροι) βόσκοντ' ἐριθηλέα ποίην | ἐν νομῷ, cf. h. Mercur. 27: βοσκομένη — ἐριθηλέα ποίην. XXV 15: πολυειδέα ποίην | λειμῶνες θαλέθουσιν —, ἥ ῥα βόεσσι μένος κεραῇσιν ἀέξει. V 33: ὧδε πεφύκει | ποία.

ποιέω (act. praes. ind. ποιεῖς, -εῖ, -εῖτε; aeol. πόης XXIX 21. ποιεῖν. ποιῶν, -εῦντα. ipf. ἐποίει, aeol. ἐπόης XXX 13. fut. dor. ποιησεῖς. aor. ἐποίησα, -ας; ποίησας, -αν; aeol. ἐπόησε XXIX 24. ποιήσας. — pass. pf.

πεποίηται. — med. praes. ind. ποιῇ. ipr. ποιεῖσθ'. aor. ποίησαι. — primae syllabae diphthongus ubi corripitur — id quod fit novies — Ahr. e codd. recepit ποέω.) I) *facio*, mache 1) facio, conficio, compono VIII 18: σύριγγ' ἂν ἐποίησα. Med. mihi conficio XXIX 12: ποίησαι καλίαν μίαν εἰν ἑνὶ δενδρίῳ. — X 38: ἢ καλὰς ἄμμι ποιῶν ἐλελήθη Βοῦκος ἀοιδάς. Ep. XIX 6: ἔπεά τε ποιεῖν πρὸς λύραν τ' ἀείδειν. — 2) efficio (statum) a) c. acc. XIX 6: (μέμφετο, ὅττι γε τυτθόν) θηρίον ἐστὶ μέλισσα καὶ ἁλίκα τραύματα ποιεῖ. XIX 8. II [61]. — Med. III 33: (ἐγὼ μέν) τὶν ὅλος ἔγκειμαι, τὺ δέ μεν λόγον οὐδένα ποιῇ: h. e. λογίζῃ, φροντίζεις. — b) c. infin. efficio ut III 9: ἀπάγξασθαί με ποιησεῖς. III 21. XXV 78. — c) c. dupl. acc. mache zu etwas XXVII 58: τὠμπέχονον ποίησας ὅλον ῥάκος. XXI 28: ἁ φροντὶς — μακρὰν τὰν νύκτα ποιεῖ τοι. X 25. Ep. XX 7. add. praep. ἐκ, ἀπό XXIX 24: κῆμε μάλθακον ἐξ ἐπόησε σιδαρίω (var. ἐξεπόησε, ἐξεπόνασε). XV 106: ἀθανάταν ἀπὸ θνατᾶς | — ἐποίησας Βερενίκαν. Med. XIII 52: κουφότερ' ὦ παῖδες ποιεῖσθ' ὅπλα. — II) *ago*, tue 1) c. acc. XXI 34: τί γὰρ ποιεῖν ἂν ἔχοι τις. XIV 70: ποιεῖν τι δεῖ. VI 31: ταῦτα — ποιεῦντα. XXX 13. XXIII 11: πάντ' ἐποίει ποτὶ τὸν βροτόν. c. adv. XXIX 21: αἰ γὰρ ὧδε πόῃς. — Pass. XV 46: πολλά τοι — πεποίηται καλὰ ἔργα. — 2) c. dupl. acc. afficio, tracto II 9: ὥς νιν ἴδω καὶ μέμφομαι οἷά με ποιεῖ.

ποιητάς *poeta* Ep. XIX 1: Ἀρχίλοχον καὶ στᾶθι καὶ εἴσιδε τὸν πάλαι ποιητάν | τὸν τῶν ἰάμβων.

ποικίλος *varius, versicolor* V 11: τὸ Κροκύλος μοι ἔδωκε, τὸ ποικίλον (νάκος). plur. pro subst. XV 78: τὰ ποικίλα πρᾶτον ἄθρησον· λεπτὰ καὶ ὡς χαρίεντα: textilia variis coloribus picta.

ποικιλότραυλος *vario modo cantatus* Ep. IV 10: κόσσυφοι ἀχεῦσιν ποικιλότραυλα μέλη.

ποιμαίνω *oves pasco* XI 65: ποιμαίνειν δ' ἐθέλοις σὺν ἐμὶν ἅμα καὶ γάλ' ἀμέλγειν. c. acc. met. XI 80: οὕτω τοι Πολύφαμος ἐποίμαινεν τὸν ἔρωτα | μουσίσδων: curabat, leniebat.

ποιμενικός *pastoralis* I 23: (ἑσδώμεθα — ἅπερ ὁ θῶκος) τῆνος ὁ ποιμενικὸς καὶ ταὶ δρύες.

ποιμήν (sg. ποιμήν, -ένος, -ένα, -ήν. pl. ποιμένες, -έσι, -ένας, -ένες) 1) *pastor ovium, opilio* VIII 9: ποιμὴν εἰροπόκων ὀίων, συριγκτὰ Μενάλκα. VII 151: τῆνον τὸν ποιμένα τὸν ποτ' Ἀνάπῳ, | τὸν κρατερὸν Πολύφαμον. I 80: ἦνθον τοὶ βοῦται, τοὶ ποιμένες, ᾡπόλοι ἦνθον. VII 71: αὐλησεῦντι δέ μοι δύο ποιμένες, εἷς μὲν Ἀχαρνεύς, | εἷς δὲ Λυκωπίτας. VIII 92. XVI 95. (de XVI 39 v. ἐμμενές.) nominatim commemorantur Thyrsis I 7. 15. Menalcas VIII 44. Laco V 1. 90. 138. 143. — 2) universe *pastores* videntur dici XX 19: ποιμένες, εἴπατέ μοι τὸ κρήγυον: loquitur bubulcus.

ποίμνα (sg. ποίμνα, -ας. pl. ποῖμναι, -ας) *grex ovium* V 72: ἅδε τοι ἁ ποίμνα τῶ Θουρίω ἐστὶ Σιβύρτα. X 4: (ἀπολείπῃ) ὥσπερ ὄις ποίμνας, τᾶς τὸν πόδα κάκτος ἔτυψε. VI 28. XXV 7.

ποίμνιον (ter ante caes. bucol.) *grex ovium* VI 6: βάλλει τοι, Πολύφαμε, τὸ ποίμνιον ἁ Γαλάτεια. VI 21. V 75.

ποιολογέω *herbam v. cereales fruges lego* III 31: εἶπε καὶ ἁ γραία τἀλαθέα κοσκινόμαντις, | ἁ πρᾶν ποιολογεῦσα Παραιβατίς: ἤγουν τοὺς στάχυας ἀναλεγομένη. Schol. Duas inducit personas Buechelerus proponens: καὶ ἁ Γραιὼ τ. κ. χἀ πρᾶν ποιολογεῦσα Παραιβάτις, v. Mus. Rhen. XVIII p. 316.

ποῖος (sg. m. ποῖος. f. ποίας, -αν. n. ποῖον. pl. m. ποῖοι. f. ποῖαι) *qualis*, plerumque cum admiratione quadam atque indignatione dicitur; II 90: ἐς τίνος οὐκ ἐπέρασα | ἢ ποίας ἔλιπον γραίας δόμον, ἅτις ἐπᾷδεν; augetur vis add. τις XIV 60: τἆλλα δ' ἀνὴρ ποῖός τις; X 5: ποῖός τις, δειλαῖε, καὶ ἐκ μέσω ἄματος ἐσσῇ; praemittitur artic. V 5: τὰν ποίαν σύριγγα;: 'qualis est ista quam dicis fistula?' V 8: τὶν δὲ τὸ ποῖον | Λάκων ἀγκλέψας πόκ' ἔβα νάκος; — exclamantis est XV 80: πότνι' Ἀθαναία, ποῖαί σφ' ἐπόνασαν ἔριθοι, | ποῖοι ζωογράφοι τἀκριβέα γράμματ' ἔγραψαν.

πόκ(α) (dor. pro πότε) *quando* IV 7: καὶ πόκα τῆνος ἔλαιον ἐν ὀφθαλμοῖσιν ὀπώπει; V 39. cum altera interrogatione iungitur V 9: (τὶν δὲ τὸ

ποῖον) *Λάκων ἀγκλέψας πόκ' ἔβα νάκος;*

ποκά v. **ποτέ.**

ποκίζω *tondeo, vellumen adimo,* med. aor. dor. V 26: *τίς τρίχας ἀντ' ἐρίων ἐποκίξατο;*: *ἀντὶ τοῦ ἔκειρε, πόκους ἐποιήσατο.* Schol.

πόκος *vellus* ovillum XXVIII 12: *δὶς γὰρ μάτερες ἄρνων μαλάκοις ἐν βοτάνᾳ πόκοις | πέξαιντ' αὐτοένει*: aeol. pro *μαλακοὺς πόκους.* XV 20: *πέντε πόκως ἔλαβ' ἐχθές.* V 98: *ἀλλ' ἐγὼ ἐς χλαῖναν μαλακὸν πόκον, ὁππόκα πέξω | τὰν οἶν τὰν πελλάν, Κρατίδᾳ δωρήσομαι.*

πολεμίζω *pugno,* c. dat. XXII 212: *οὕτως Τυνδαρίδαις πολεμιξέμεν οὐκ ἐν ἐλαφρῷ.*

πολεμιστής *pugnator, bellator* XXIV 130: *Κάστορι δ' οὔτις ὁμοῖος ἐν ἡμιθέοις πολεμιστής.* pro adi. XV 51: *τοὶ πολεμισταί | ἵπποι τῶ βασιλῆος*: 'die Paradepferde', bellatores equi ad certamen destinati; *πολεμιστὴς ἵππος — ὁ ἐν τοῖς ἀγῶσι σχῆμα φέρων ὡς εἰς πόλεμον εὐτρεπισμένος· ἦν γὰρ τοιοῦτον ἀγώνισμα.* Phot. lex. p. 438, 16.

πόλεμος *pugna* XXII 171: *εἰ δ' ὑμῖν κραδίη πόλεμον ποθεῖ . . .*

πολιός *canus* XI 24: *φεύγεις δ' ὥσπερ ὄις πολιὸν λύκον ἀθρήσασα,* cf. Il. X 334: *ῥινὸν πολιοῖο λύκοιο.* Ov. Met. VI 527: illa tremit, velut agna pavens quae saucia cani ore excussa lupi nondum sibi tuta videtur. — de sene I 43: *ὧδέ οἱ ᾠδήκαντι κατ' αὐχένα πάντοθεν ἶνες | καὶ πολιῷ περ ἐόντι,* cf. Od. XXIV 499: (*ἐς τεύχε' ἔδυνον*) *καὶ πολιοί περ ἐόντες.*

πόλις, πτόλις (1) sg. *πόλῐς, -ιος, -ει, -ιν.* pl. *πολίων.* — 2) *πτόλιν* (1), *πτολίεσσι* (1) post vocales breves.) *urbs, civitas* 1) XVIII 4: *δώδεκα ταὶ πρᾶται πόλιος*: Spartae. IV 32: *καλὰ πόλις ἅ τε Ζάκυνθος.* II 35. XIII 18. XVII 82. 111. c. nomine urbis XXV 171: *ἢ Τίρυνθα νέμων πόλιν ἠὲ Μυκήνην.* Ep. XVII 5: *Συρακόσσαις — πόλει.* c. gen. XXVIII 3: *πόλιν ἐς Νείλεος ἀγλάαν.* XXII 219: *ὑμνήσας Πριάμοιο πόλιν,* cf. Il. I 19: *ἐκπέρσαι Πριάμοιο πόλιν.* XXVIII 18: *ἄνδρων δοκίμων πόλιν.* — 2) opp. rus VII 2: *εἵρπομες ἐκ πόλιος.* V 78: *τὸν ξένον ἐς πόλιν αὖθις | ζῶντ' ἄφες* (Ahr. e coni. *εὖ πάλιν,* Bergk. *ἐς πάλιν*).

πολῑτας (sg. *πολίτᾳ.* pl. *πολῖται, -αις*) *civis* 1) incola urbis XVII 88: *ἄστεά τε προτέροισι πάλιν ναίοιτο πολίταις.* — 2) popularis Ep. XVII 6: *οἱ' ἀνδρὶ πολίτᾳ — μεμναμένους τελεῖν ἐπίχειρα.* plur. XXV 45: *ὁ μὲν ἄρ κατὰ ἄστυ μένει παρὰ οἷσι πολίταις.* Ep. XV 3.

πολλάκῐ(ς) (semel secundum efficit hex. dactylum, reliquis locis aut quintum aut primum.) *multoties, saepe, frequenter;* 1) de tempore XI 40: (*ἀείδων*) *πολλάκι νυκτὸς ἀωρί.* II 156: *παρ' ἐμὶν ἐτίθει τὰν Δωρίδα πολλάκις ὄλπαν.* I 144: *ὦ χαίρετε πολλάκι, Μοῖσαι.* II 88. 134. VI 19. 31. XI 12. XXII 152. XXVII 40. — 2) de numero c. comp. V 57: (*ὑπεσσεῖται δὲ χιμαιρᾶν*) *δέρματα τῶν παρὰ τὶν μαλακώτερα πολλάκις ἀρνῶν* (var. *τετράκις*): *καταπολύ.* Gloss.

πολῠβότρυς *vitibus frequens* XXV 11: *αἱ δ' ἐπὶ Βουπρασίου πολυβότρυος, αἱ δὲ καὶ ὧδε* (*νέμονται*).

Πολυβώτας *Polybotes,* agricola quidam X 15: *τίς δέ τυ τᾶν παίδων λυμαίνεται; ἁ Πολυβώτα*: 'Polybotae filia'.

πολύγναμπτος *multos flexus habens* VII 68: *κνύζᾳ τ' ἀσφοδέλῳ τε πολυγνάμπτῳ τε σελίνῳ.*

πολυδένδρεος, πολύδενδρος *multas arbores habens* XI 47: *ἁ πολυδένδρεος Αἴτνα.* XVII 9: *Ἴδαν ἐς πολύδενδρον.*

Πολυδεύκης *Pollux,* Iovis et Ledae filius, frater Castoris, pugilatione insignis XXII 1: *ὑμνέομεν Λήδας τε καὶ αἰγιόχου Διὸς υἱώ, | Κάστορα καὶ φοβερὸν Πολυδεύκεα πὺξ ἐρεθίζειν,* cf. Il. III 237: *Κάστορά θ' ἱππόδαμον καὶ πὺξ ἀγαθὸν Πολυδεύκεα.* — XXII 132: *ὦ πύκτη Πολύδευκες.* 53: *ἀεθλοφόρος Πολυδεύκης.* 111: *ἀνίκητος Π.* 173: *κρατερὸς Π.* 34: *ὅ τ' οἰνωπὸς Πολυδεύκης.* IV 9. XXII 25. 26. 85. 92. 119.

πολυειδής *multifarius* XXV 15: *πολυειδέα ποίην | λειμῶνες θαλέθουσιν* (var. *μελιηδέα*).

πολύεργος *operosus* XXV 27: *οὔρους μὴν ἴσασι φυτοσκάφοι οἱ πολύεργοι.*

πολύῐδρις *peritissimus* XV 97: *ἁ τᾶς Ἀργείας θυγάτηρ πολύιδρις ἀοιδός.*

πολύκαρπος *multos fructus gignens* X 42: *Δάματερ πολύκαρπε.*

πολυκήτης *multa cete habens* XVII 98: *πολυκήτεα Νεῖλον ὑπερβάς.*

πολύκληρος *multos fundos habens, opulentus* XVI 83: *πολυκλήρων Ἐφυραίων | εἴληχας μέγα ἄστυ*: Syracusas, cf. Od. XIV 211: *πολυκλήρων ἀνθρώπων.*

πολυμήχανος *qui est prompto ad multa machinanda ingenio* XXIV 13: *αἰνὰ πέλωρα δύω πολυμήχανος Ἥρη | — ὦρσεν ἐπὶ πλατὺν οὐδόν.*

πολύμοχθος *laboriosus, operosus* XXVIII 8: *σὲ τὰν ἐλέφαντος πολυμόχθω γεγενημέναν*: 'te, oriundum ex ebore, quod non sine multo labore politur'.

πολύμυθος *verbosus* XXII 153: *αὐτὸς ἐγὼ τάδ' ἔειπα, καὶ οὐ πολύμυθος ἐών περ.*

πολύναος *multa delubra habens* XV 109: *τὶν δὲ χαριζομένα, πολυώνυμε καὶ πολύναε*: Cypris dicitur.

πολυπῖδαξ *multos fontes habens, aquosus* XXV 31: *μέχρις ἐπ' ἐσχατιὰς πολυπίδακος ἀκρωρείης.*

πολύρραπτος *multum sutus* XXV 265: *ῥίψας τόξον ἔραζε πολύρραπτόν τε φαρέτρην.*

πολύρρην *multa pecora habens* XXV 117: *οὔτε πολύρρηνες πάντων ἔσαν ἐκ βασιλήων.*

πολύς (sg. m. *πολύς, πολλός* (1); *πολλῷ, πολύν.* f. *πολλή, -ῆς, -ᾶς.* n. *πολύ, πολλόν.* — pl. m. *πολλοί, πολέες* (1). *πολλῶν, πολέων* (1). *πολλοῖς, -οῖσι, -ούς.* f. *πολλαί, -αῖς, άς.* n. *πολλά, πολλῶν, πολέων* (1). *πολλοῖς, -οῖσιν. πολλά, πόλλ'*; aeol. *πόλλα.* — comp. sg. *πλέον, πλεῖον* (1). pl. m. *πλεόνεσσιν.* f. *πλέονες.* n. *πλεόνων*) I) Adi. 1) de numero atque quantitate: *multus, frequens*; a) c. subst. XV 59: *ὄχλος πολὺς ἄμμιν ἐπιρρεῖ.* XVII 108: *πολύν* (*χρυσόν*). 110. 111. XXV 24: *πολὺν καὶ ἀθέσφατον ὄλβον.* V 131: *πολλὸς δὲ καὶ ὡς ῥόδα κίσθος ἐπανθεῖ.* XVIII 11: *ἦ ῥα πολύν τιν' ἔπινες*; (sc. *οἶνον*). — plur. I 74: *πολλαί οἱ πὰρ ποσσὶ βόες, πολλοὶ δέ τε ταῦροι, | πολλαὶ δ' αὖ δαμάλαι καὶ πόρτιες ὠδύραντο.* IX 17: (*ἔχω*) *πολλὰς μὲν ὄις, πολλὰς δὲ χιμαίρας.* XXVI 36: *πολλαῖς μεμελημέναι ἡρωίναις.* XVI 34: *πολλοὶ — πενεσταί.* 36: *πολλοὶ — μόσχοι.* XIII 40: *περὶ δὲ θρύα πολλὰ πεφύκει.* XXIV 120: *μάλα πολλὰ — κειμήλια.* XXV 56: *ἤμασι πολλοῖς.* XXIV 100: *πολλοῖσι — ἐνιαυτοῖς.* Ep. XX 8. Ep. XXV 2: (*ἡ παῖς ᾤχετ'*) *εἰς Ἀίδην πολλοῖς ἡλικίης προτέρη* (ex Ahr. coni. scr. pro *πολλῆς, πολλῆσιν, πολιῆς*): sc. *ἐνιαυτοῖς.* XXV 281: *πολλά — κήδεα.* VII 135. XI 77. XVI 67. 72. XVII 93. 126. XXII 30. XXV 247. XXVIII 10. XXX 23. additur adi. II 67: *πολλὰ μὲν ἄλλα θηρία.* XV 46: *πολλὰ — πεποίηται καλὰ ἔργα.* XXVIII 19: *πόλλ' ἐδάη σόφα — φάρμακα.* add. artic. Ep. XXII 2: *εἷς ἀπὸ τῶν πολλῶν εἰμι Συρακοσίων.* — b) c. adi. VII 91: *πολλὰ μὲν ἄλλα — ἐσθλά.* II 149: *ἄλλα τε πολλὰ καί* . . . XXX 25: *ταῦτα κἄτερα πόλλα* (cod. *πολλά*). Ep. XVII 9: *πολλὰ — χρήσιμα.* XXII 167: *τοιάδε πολλά.* — c) sine apposito pro subst. XVI 87: *ἀριθμητοὺς ἀπὸ πολλῶν.* XIV 25: *πολλοῖς δοκέων καλὸς ἦμεν.* VIII 64: *μικκὸς ἐὼν πολλοῖσιν ὁμαρτέω* (var. *πολλαῖσιν*): pecoribus. XIV 63: *πολλοῖς πολλὰ διδούς.* XIII 33. XXII 162. XXV 62. XXVII 22. 23. XVI 101: *πολλοὺς δὲ καὶ ἄλλους.* 42: *τὰ πολλὰ καὶ ὄλβια τῆνα.* sequ. genet. XXIV 74: *πολλαὶ Ἀχαιιάδων.* XVI 25: *πολλοὺς δ' εὖ ἔρξαι παῶν, πολλοὺς δὲ καὶ ἄλλων | ἀνθρώπων.* — d) est pro praedic. XXV 197: *πολέων περ ἐόντων Ἀργείων.* XV 5: (*μόλις ὔμμιν ἐσώθη,*) *Πραξινόα, πολλῶ μὲν ὄχλω, πολλῶν δὲ τεθρίππων*: 'quum sit turba hominum plurima in plateis.“ — 2) de vi atque intentione: *ingens, magnus* XXII 83: *ἔνθα πολὺς σφισι μόχθος ἐπειγομένοισιν ἐτύχθη.* 176: *πολὺ πένθος.* pro praedic. est XXII 14: *πολὺς δ' ἐξ οὐρανοῦ ὄμβρος.* XIV 4: *χὼ μύσταξ πολὺς οὗτος.* ad praedic. pertinet XXII 90: *σὺν δὲ μάχην ἐτάραξε, πολὺς δ' ἐπέκειτο, νενευκώς | ἐς γαῖαν*: summa virium contentione, 'toto corpore'; cf. Eur. Hipp. 443: *Κύπρις γὰρ οὐ φορητός, ἢν πολλὴ ῥυῇ.* — 3) de spatio loci et temporis: *amplus, longus* a) XIII 65: *πολὺν δ' ἐπελάμβανε χῶρον.* XVII 76: *πολλᾶς δὲ κρατέει γαίας, πολλᾶς δὲ θαλάσσας.* Ep. VIII 3 (?). pro praedic. XXII 156: *πολλή τοι Σπάρτη, πολλὴ δ' ἱππήλατος Ἦλις,* cf. Plat. Phaed. p. 78 in. — b) Ep. IX 2: *καὶ ὡς οὐ πολὺς ἀνδρὶ βίος.* — II) Adv. 1) neutr. sg. **πολύ, πολλόν** *multum, valde* XX 14: *καὶ πολὺ τᾷ*

μορφᾷ θηλύνετο. XXV 140: ἀστέρι πάντες ἔισκον, ὁθούνεκα πολλὸν ἐν ἄλλοις | βουσὶν ἰὼν λάμπεσκεν. c. comp. *multo*, *longe* XXII 147: ἡμὶν τοι Λεύκιππος ἑὰς ἔδνωσε θύγατρας | τάσδε πολὺ προτέροις. XX 25: ὄμματά μοι γλαυκᾶς χαροπώτερα πολλὸν Ἀθάνας. XI 74: πολὺ μᾶλλον. II 79: πολὺ πλέον. V 80. XVII 40. — 2) neutr. pl. πολλά *saepe*, *multum*, *valde* XXII 193: πολλὰ μὲν ἐς σάκος — | Κάστωρ, πολλὰ δ' ἔνυξεν — Λυγκεὺς | τοῖο σάκος. XVIII 41: πολλὰ τεοῦς — μεμναμέναι. XVI 9: πολλά με τωθάζοισαι. XII 35: Γανυμήδεα πόλλ' ἐπιβῶται. XXX 12. XIV 1: χαίρειν πολλὰ τὸν ἄνδρα Θυώνιχον. (de XXV 74 v. τρηχύς.) — III) Compar. *plus*, *plures*, *plura* XXV 123: αἰεὶ δὲ πλέονες κεραοὶ βόες (γείνοντο). XVI 65: αἰεὶ δὲ πλεόνων ἔχοι ἵμερος αὐτόν. c. gen. part. XXV 166: ὅς δή τοι μυθεῖτο καὶ ἐν πλεόνεσσιν Ἐπειῶν. — neutr. sg. πλέον (ubique — praeter V 71. XV 36. XXII 89 — in exitu pedis quarti) Ep. XIV 1: γνώσομαι εἴ τι νέμεις ἀγαθοῖς πλέον ἢ καὶ ὁ δειλός | ἐκ σέθεν ὡσαύτως ἶσον, ὁδοιπόρ', ἔχει: 'pluris facis'. XV 36: πλέον (sc. ἠνάλωσα) ἀργυρίω καθαρῶ μνᾶν | ἢ δύο. pro subst. est V 71: (μήτε Κομάτᾳ) ἐς πλέον εὐθύνης. III 47: (Κυθέρειαν) ὤδωνις ἐπὶ πλέον ἄγαγε λύσσας: 'ad maiorem quam quis existimet furorem'. Ep. XIII 6: (κηδόμενοι) ἀθανάτων αὐτοὶ πλεῖον ἔχουσι βροτοί: commodum, lucrum. Ep. VI 1 = 5: τί τοι πλέον: quid prodest tibi. — c. art. τὸ πλέον commodum, praemium iustum VIII 17: ἀλλὰ τί μὰν θησεῖς; τί δὲ τὸ πλέον ἑξεῖ ὁ νικῶν; I 20: (τὰ Δάφνιδος ἄλγε' ἀείδες) καὶ τᾶς βουκολικᾶς ἐπὶ τὸ πλέον ἵκεο Μοίσας, qui versus num sanus sit dubitatur. Ep. VI 1. 5 (var. τοι). — adv. πλέον 1) *magis* XXX 10: ἔμεθεν δὲ πλέον τᾶς κραδίας ὦρος ἐδράξατο. XVII 40: ἢ μὰν ἀντεφιλεῖτο πολὺ πλέον. sequ. ἢ V 80. XXII 89. II 79. gen. II 106: πᾶσα μὲν ἐψύχθην χιόνος πλέον. — 2) *plus* XXIX 17: τῷ δ' εὔθυς πλέον ἢ τριέτης ἐγένευ φίλος.

πολύσῖτος *multa coenatus* XXI 40: οὐκ ἦν μὰν πολύσιτος, ἐπεὶ δειπνεῦντες ἐν ὥρᾳ, | εἰ μέμνῃ, τᾶς γαστρὸς ἐφειδόμεθ'.

πολύστᾰχυς *multas spicas habens* v. *gignens* X 42: Δάματερ πολύκαρπε, πολύσταχυ.

πολύστονος *luctuosus* XVII 47: (Βερενίκα) εὐειδὴς Ἀχέροντα πολύστονον οὐκ ἐπέρασεν.

Πολύφᾱμος *Polyphemus* Cyclops, pastor Siculus XI 7: οὕτω γοῦν ῥᾴιστα διᾶγ' ὁ Κύκλωψ ὁ παρ' ἁμῖν, | ὡρχαῖος Πολύφαμος, ὄκ' ἤρατο τᾶς Γαλατείας, | ἄρτι γενειάσδων περὶ τὸ στόμα τὼς κροτάφως τε. 80. VII 151: ἆρά γέ πα τῆνον τὸν ποιμένα τὸν ποτ' Ἀνάπῳ, | τὸν κρατερὸν Πολύφαμον, ὃς ὤρεσι νᾶας ἔβαλλε, | τοῖον νέκταρ ἔπεισε κατ' αὔλια ποσσὶ χορεῦσαι; VI 6: ὦ Πολύφαμε. 19.

πολύφιλτρος *admodum amans* XXIII 1: ἀνήρ τις πολύφιλτρος ἀπηνέος ἦρατ' ἐφάβω.

πολυχανδής *valde capax* XIII 46: ὁ κοῦρος ἐπεῖχε ποτῷ πολυχανδέα κρωσσόν.

πολύχορδος *multas chordas habens* XVI 45: (αἰόλα φωνέων) βάρβιτον ἐς πολύχορδον.

πολυώδῡνος *multorum dolorum auctor* XXV 238: ἀλλ' οὐδ' ὧς ὑπὸ βύρσαν ἔδυ πολυώδυνος ἰός, cf. Il. XV 450: πολύστονος ἔμπεσεν ἰός.

πολυώνῠμος *multa nomina habens* XV 109: τὶν δὲ χαριζομένα, πολυώνυμε καὶ πολύναε: Cypris dicitur.

πομπά *pompa* sollennis ad delubra deorum ducta II 72: τὰν πομπὰν θάσασθαι. 83: κοὔτε τι πομπᾶς | τήνας ἐφρασάμαν.

πομπεύω *in pompa transvehor* II 67: (ἦνθ' — Ἀναξώ) ἄλσος ἐς Ἀρτέμιδος, τᾷ δὴ τόκα πολλὰ μὲν ἄλλα | θηρία πομπεύεσκε περισταδόν, ἐν δὲ λέαινα.

πονέω (dor. πονάω) *labore paro, perficio* XV 80: πότνι' Ἀθαναία, ποῖαί σφ' ἐπόνασαν ἔριθοι. Med. XV 115: εἴδατα δ' ὅσσα γυναῖκες ἐπὶ πλαθάνῳ πονέονται. (de XXVI 7 v. ποπάνευμα.) — met. XIII 14: ὡς αὐτῷ κατὰ θυμὸν ὁ παῖς πεποναμένος εἴη: 'factus, perfectus'.

πονηρός *malus, improbus*, de hominibus Ep. XXI 2: εἰ μὲν πονηρός, μὴ ποτέρχευ τῷ τύμβῳ, | εἰ δ' ἐσσὶ κρήγυός τε καὶ παρὰ χρηστῶν, | θαρσέων καθίζευ. de rebus XXIV 67: μηδ' εἴ τι θεοὶ νοέοντι πονηρόν, | αἰδόμενος ἐμὲ κρύπτε.

πόνος (sg. πόνος, -ον. pl. πόνοι-

σιν) 1) *labor*, Arbeit, Mühe XXI 20: τοὺς δ' ἁλιεῖς ἤγειρε φίλος πόνος. 39: κατέδαρθον ἐν εἰναλίοισι πόνοισιν. VII 139: τέττιγες λαλαγεῦντες ἔχον πόνον: laborabant, cf. XXII 187: τιτυσκόμενοι πόνον εἶχον. de labore pugilationis XXII 113: ὁ δ' αἰεὶ πάσσονα γυῖα | ἁπτόμενος φορέεσκε πόνον. palaestrae II 80: ὡς ἀπὸ γυμνασίοιο καλὸν πόνον ἄρτι λιπόντων. — 2) *aerumna*, de dolore amoris spreti II 164: ἐγὼ δ' οἰσῶ τὸν ἐμὸν πόνον ὥσπερ ὑπέσταν.

ποντοπορέω *mare percurro, in mari navigo* Ep. IX 6: ποντοπορῶν αὐτῇ Πλειάδι συγκατέδυς. — met. inf. aeol. XXX 20: ἀλλάσσει δ' ἑτέρᾳ ποντοπόρην αὔριον ἄμερος: 'mutat (mutabit) hanc vitam die crastino, ita ut mitis vela pandat (naviget) in alteram partem h. e. alicui amatori faveat v. velificetur'.

πόντος (sg. πόντος, -ου, -οιο, -ον) 1) *pontus*, *mare* a) prope littus VI 35: ἦ γὰρ πρᾶν ἐς πόντον ἐσέδρακον, ἦς δὲ γαλάνα, | καὶ καλὰ μὲν τὰ γένεια, καλὰ δέ μευ ἁ μία κώρα | — κατεφαίνετο. — b) mare altum, profundum XVII 91: (νᾶες ἄρισται) πόντον ἐπιπλώοντι. XXII 133: ὃν πατέρ' ἐκ πόντοιο Ποσειδάωνα κικλήσκων. II 38: σιγῇ μὲν πόντος, σιγῶντι δ' ἀῆται. XI 18: (καθεζόμενος δ' ἐπὶ πέτρας) ὑψηλᾶς ἐς πόντον ὁρῶν ἄειδε τοιαῦτα. — c) certa maris pars XVI 98: Ἱέρωνι κλέος φορέοιεν ἀοιδοί | καὶ πόντον Σκυθικοῖο πέραν: Ponti Euxini vel, ut alii malunt, paludis Maeotidis. — 2) **Πόντος** *Pontus* (*Euxinus*) XXII 28: (προφυγοῦσα) Ἀργὼ — νιφόεντος ἀταρτηρὸν στόμα Πόντου.

ποπάνευμα *libum* XXVI 7: ἱερὰ δ' ἐκ κίστας ποπανεύματα χερσὶν ἑλοῖσαι | εὐφάμως κατέθεντο νεοδρέπτων ἐπὶ βωμῶν (e Wordsw. coni. scr. pro vulg. πεπονημένα), cf. Verg. Georg. II 394: Baccho dicemus honorem carminibus patriis lancesque et liba feremus.

πόποι *pro, papae;* exclamatio est admirantis cum ὦ coniuncta XXV 78: ὦ πόποι, οἷον τοῦτο θεοὶ ποίησαν ἄνακτες | θηρίον ἀνθρώποισι μετέμμεναι, ὡς ἐπικειθές. cf. Od. I 32: ὦ πόποι, οἷον δή νυ θεοὺς βροτοὶ αἰτιόωνται.

ποππῠλιάσδω (aeol. pro ποππυλιάζω) *sibilo*, *susurro*, wispere V 89: ἁδύ τι ποππυλιάσδει (Ahr. ποππυλιάζει).

ποππύσδω (aeol. pro ποππύζω) *sibilo*, inf. dor. V 7: (τί δ' οὐκέτι σὺν Κορύδωνι) ἀρκεῖ τοι καλάμας αὐλὸν ποππύσδεν ἔχοντι, cf. Verg. Ecl. III 26: indocte, solebas stridenti miserum stipula disperdere carmen.

πορθμεύς *portitor* I 57: τῷ μὲν ἐγὼ πορθμεῖ Καυλωνίῳ αἶγά τ' ἔδωκα. de Charonte XVII 49: στυγνὸν ἀεὶ πορθμῆα καμόντων, cf. Eur. Alc. 253: νεκύων δὲ πορθμεὺς ἔχων χέρ' ἐπὶ κοντῷ Χάρων μ' ἤδη καλεῖ.

πόρος *copia(e)*, *census* XXI 14: οὗτος τοῖς ἁλιεῦσιν ὁ πᾶς πόρος, οὗτος ὁ πλοῦτος (e Koehleri emend. scr. pro πόνος, Ahr. coni. στόλος), cf. Ov. Met. III 588: ars illi sua census erat.

πόρρω, πρόσσω 1) *prorsus, in adversum* XXII 87: αὐτὰρ ὅγ' ἐν θυμῷ κεχολωμένος ἵετο πρόσσω | χερσὶ τιτυσκόμενος. — 2) *procul* XIII 60: (ἀραιὰ δ' ἵκετο φωνά) ἐξ ὕδατος, παρεὼν δὲ μάλα σχεδὸν εἴδετο πόρρω.

πόρτις (sg. πόρτις, -ιος, -ιν. pl. πόρτιες, -ιας) *vitula* I 75: πολλαὶ δ' αὖ δαμάλαι καὶ πόρτιες ὠδύραντο, v. δαμάλα. I 121: Δάφνις ὁ τὼς ταύρως καὶ πόρτιας ὧδε ποτίσδων. VIII 76: ἁδεῖ' ἁ φωνὰ τᾶς πόρτιος. VI 45: ὠρχεῦντ' ἐν μαλακᾷ ταὶ πόρτιες αὐτίκα ποίᾳ. XXVII 63: ῥέξω πόρτιν Ἔρωτι καὶ αὐτὰν βοῦν Ἀφροδίτᾳ. IV 15. 52. — sing. pro plur. XX 33: χὠ καλὸς Διόνυσος ἐν ἄγκεσι πόρτιν ἐλαύνει.

πορφῠ́ρεος *purpureus* II 122: (λεύκαν) πάντοθε πορφυρέαισι περὶ ζώστραισιν ἑλικτάν (Ahr. πορφυρέῃσι — ζώστρῃσιν). XV 125: πορφύρεοι δὲ τάπητες ἄνω μαλακώτεροι ὕπνω, cf. Od. XX 150: ἔν τε θρόνοις εὐποιήτοισι τάπητας βάλλετε πορφυρέους. Il. IX 200.

πορφῠ́ρω *colore rubro nigresco, rubesco* V 124: Ἱμέρα, ἀνθ' ὕδατος ῥείτω γάλα, καὶ τὺ δέ, Κρᾶθι, | οἴνῳ πορφύροις: ὑπὸ οἴνου εἴθε πορφυροῦς εἴης, τουτέστιν εἰς οἶνον εἴθε μεταβληθείης. Schol.

Ποσειδάων *Neptunus*, deus maris XXI 54: (εἶχε δὲ δεῖμα,) μήτι Ποσειδάωνι πέλοι πεφιλημένος ἰχθύς. XXII 133: ὃν πατέρ' ἐκ πόντοιο

Ποσειδάωνα κικλήσκων: sc. Amycus, quem poeta dicit 97: *παῖδα Ποσειδάωνος*.

πόσις *potatio* XIV 29: *ἤδη δ' ὤν πόσιος τοὶ τέτταρες ἐν βάθει ἦμες*.

πόσις *maritus* XVII 130: *ἐκ θυμοῦ στέργοισα κασίγνητόν τε πόσιν τε*.

πόσσος *quantus* XV 35: *λέγε μοι, πόσσω κατέβα τοι ἀφ' ἱστῶ (τὸ ἐμπερόναμα)*;: 'quanto pretio'.

πότ v. **πρός**.

ποτάγω intr. *accedo* I 62: *πόταγ', ὠγαθέ*. XV 78: *Πραξινόα, πόταγ' ὧδε*: *πρόσαγε σαυτόν, ἤγουν πρόσελθε, ἧξον*. Schol.

ποτἀείδω *cantu invoco* II 10: (*Σελάνα,*) *φαῖνε καλόν· τὶν γὰρ ποταείσομαι, ἅσυχε δαῖμον*.

ποτἄμείβομαι *respondeo* I 100: *τὰν δ' ἄρα χὠ Δάφνις ποταμείβετο*: *πρὸς ταύτην καὶ ὁ Δ. ἠμείβετο, ἀντὶ τοῦ ἠμείψατο, ἤγουν ἀπεκρίνατο*. Schol.

ποτἄμέλγω *insuper mulgeo*, med. I 25: *αἶγα δέ τοι δωσῶ διδυματόκον ἐς τρὶς ἀμέλξαι, | ἃ δύ' ἔχοισ' ἐρίφως ποταμέλγεται ἐς δύο πέλλας*: 'lacte suo, quoties mulgetur, mulctras adimplet binas'.

ποτἄμός (sg. *ποταμός, -οῖο, -όν*. pl. *ποταμοί*) *flumen, fluvius, amnis* XXV 201: *πάντας γὰρ πισῆας ἐπικλύζων ποταμὸς ὥς | λῖς ἄμοτος κεράιζε*. XXII 50: (*πέτροι ὀλοίτροχοι, οὕστε κυλίνδων*) *χειμάρρους ποταμὸς μεγάλαις περιέξεσε δίναις*. XVII 91: *θάλασσα δὲ πᾶσα καὶ αἶα | καὶ ποταμοὶ κελάδοντες*. VIII 33: *ἄγκεα καὶ ποταμοί, θεῖον γένος*. I 118: *χαίρ', Ἀρέθοισα, | καὶ ποταμοί, τοί χεῖτε καλὸν κατὰ Δωρίδος ὕδωρ*. XXIV 92. XXV 19. — additur nomen VII 112: *Ἕβρον πὰρ ποταμόν*. 75: *Ἱμέρα — παρ' ὄχθαισιν ποταμοῖο*. I 68: *ποταμοῖο μέγαν ῥόον εἶχετ' Ἀνάπω*.

ποτᾶνός *volucer, volatilis* Ad. 7: *οἱ δ' εὐθέως ποτανοί* (sc. *Ἔρωτες*) | *πᾶσαν δραμόντες ὕλαν στυγνὸν τὸν ὗν ἀνεῦρον*.

ποταυλέω *tibia accino* VI [41] = X 16: *ἃ πρᾶν ἀμάντεσσι παρ' Ἱπποτίωνι ποταύλει*: 'hunc versum ex id. X 16 huc esse illatum post Valck. et alii iudicaverunt et Hauptius, Mus. Rhen. 1846, IV p. 271'. A. Fr. ad VI 41.

ποτᾶῷος (dor. pro *προσηῷος*) *ad orientem spectans* IV 33: *τὸ ποταῷον τὸ Λακίνιον*.

φάσσα *palumbes*, Veneris sacra itaque in donis amantium V 132: οὐκ ἔραμ' Ἀλκίππας, ὅτι με πρᾶν οὐκ ἐφίλησε | τῶν ὤτων καθελοῖσ', ὅκα οἱ τὰν φάσσαν ἔδωκα. 96: κἠγὼ μὲν δωσῶ τᾷ παρθένῳ αὐτίκα φασσαν | ἐκ τᾶς ἀρκεύθω καθελών· τηνεῖ γὰρ ἐφίσδει, cf. Verg. Ecl. III 68: parta meae Veneri sunt munera; namque notavi ipse locum, aeriae quo congessere palumbes.

φᾰτνη *praesepe* XXII 21: ἐκ δ' ἄρκτοι τ' ἐφάνησαν, ὄνων τ' ἀνὰ μέσσον ἀμαυρή | φάτνη σημαίνουσα τὰ πρὸς πλόον εὔδια πάντα: 'stellae illae exiguae, quae claro coelo videntur in signo cancri nubeculae similes, unde hic dicitur ἀμαυρή;' cf. Theophr. de signis I 23: ἐν τῷ καρκίνῳ δύο ἀστέρες εἰσὶν οἱ καλούμενοι ὄνοι, ὧν τὸ μεταξὺ τὸ νεφέλιον, ἡ φάτνη καλουμένη. Plin. H. N. XVIII 80, 353.

φαυλόσε *in pravum* XII 36: Λυδίῃ ἶσον ἔχειν πέτρῃ στόμα, χρυσὸν ὁποίῃ | πεύθονται μὴ φαυλόσ' ἐτήτυμον ἀργυραμοιβοί (e coni. A. Fritzschii scr. pro φαῦλον v. φαῦλος): 'sc. ἀποβάλωσι, ne abiiciant illuc, in hanc mensae partem, ubi pravum iacet aurum'. A. Fr. Hac medicina num iam sanatus sit locus, dubitandum.

φέγγος *lumen* XXIV 73: ναὶ γὰρ ἐμὸν γλυκὺ φέγγος ἀποιχόμενον πάλαι ὄσσων.

φείδομαι *parco* 1) misereor, verschone, ipr. dor. VIII 63: φείδευ τῶν ἀρνῶν, φείδευ, λύκε, τῶν ἐρίφων μευ. — 2) parce utor XXI 40: οὐκ ἦν μὰν πολύσιτος, ἐπεὶ δειπνεῦντες ἐν ὥρᾳ, | εἰ μέμνῃ, τᾶς γαστρὸς ἐφειδόμεθ'. XXII 67: πὺξ διατεινάμενος σφετέρης μὴ φείδεο τέχνης.

φέρβω *pasco, alo* VII 80: ὥς τέ νιν αἱ σιμαὶ λειμωνόθε φέρβον ἰοῖσαι | κέδρον ἐς ἀδεῖαν μαλακοῖς ἄνθεσσι μέλισσαι. Pass. V 130: ταῖσι δ' ἐμαῖς ὀίεσσι πάρεστι μὲν ἁ μελίτεια | φέρβεσθαι. c. acc. VII 85: (καὶ τὺ μελισσᾶν) κηρία φερβόμενος ἔτος ὥριον ἐξεπόνασας: 'ultima syllaba voc. φερβόμενος ante caesuram πενθημιμερῆ producta defenditur locis Theocriteis XXV 57. VIII 74. X 30. VIII 43 (ci.) et Homericis, e. gr. Od. VII 185. Il. II 634'; v. etiam ἐμός, θεός.

φέρτερος comp., **φέριστος** superl. 1) *praestantior, melior* I 148: τέττιγος ἐπεὶ τύγα φέρτερον ᾄδεις. — 2) *optimus* VII 125: εἷς δ' ἀπὸ τᾶσδε, φέριστε, Μόλων ἄγχοιτο παλαίστρας.

φέρω (act. praes. φέρω, -ει. φέροις,

-οι. φέρ(ε). φέρειν, aeol. φέρην ci. XXIX 35. φέρων, -οντος, -οντα, -οντες; -ουσα, -οισαι. ipf. ἔφερον, φερέτην. fut. dor. οἰσῶ, -εῦμες. ipr. οἴσετε. οἰσῶν. aor. ἤνεγκεν, ἤνεικε. ἐνείκαι. — pass. pr. φέρονται. — med. pr. φέρεν. φέρεσθαι. fut. οἴσεται) A) Act. *fero* I) onus vel pondus sustineo cum quadam virium contentione: *trage* 1) XXIV 77: οὐρανὸν ἄστρα φέροντα. XXII 29: (Ἀργώ) θεῶν φίλα τέκνα φέρουσα. XXVI 26: ἐξ ὄρεος πένθημα καὶ οὐ Πενθῆα φέροισαι (e coni. Wintert. pro φέρουσαι). XXIV 92: (κόνιν) ῥιψάτω εὖ μάλα πᾶσαν ὑπὲρ ποταμοῖο φέρουσα | — ὑπερούριον. XV 133: (ἀμές νιν) οἰσεῦμες ποτὶ κύματ'. — met. XX 17: φέρω δ' ὑποκάρδιον ὀργάν. — 2) gigno, procreo V 125: τὰ δέ τ' οἴσυα καρπὸν ἐνείκαι. I [134]. Pass. XV 112: πὰρ μὲν ὀπώρα κεῖται ὅσα δρυὸς ἄκρα φέρονται. — 3) tolero II 164: ἐγὼ δ' οἰσῶ τὸν ἐμὸν πόνον ὥσπερ ὑπέσταν. XXIII 16. Ad. 29. 35. — II) sustineo rem simul aliquo movens: *führe, bringe* 1) affero XV 30: ἁ δὲ σμᾶμα φέρει. XXIV 48: οἴσετε πῦρ. II 1: πᾷ μοι ταὶ δάφναι; φέρε, Θεστυλί. cf. XV 29. XV 33: ὧδε φέρ' αὐτάν. c. praep. II 148: (ἵπποι) Ἀῶ τὰν ῥοδόπαχυν ἀπ' Ὠκεανοῖο φέροισαι. XXII 196: τοῦ μὲν ἄκρην ἐκόλουσεν ἐπὶ σκαιὸν γόνυ χεῖρα | φάσγανον ὀξὺ φέροντος, cf. XXII 121. c. dat. III 10: ἠνίδε τοι δέκα μᾶλα φέρω· — καὶ αὔριον ἄλλα τοι οἰσῶ. XV 17: κἤνθε φέρων ἅλας ἄμμιν. XI 73: αἴθ' ἐνθὼν ταλάρως τε πλέκοις καὶ θαλλὸν ἀμάσας | ταῖς ἄρνεσσι φέροις. II [58]. XI 56. 59. XIII 36. XV 39. 124. XXII 223. XXIII 21. — met. XXI 23: ὅτε τἄματα μακρὰ φέρει Ζεύς: affert, efficit. XXV 214: πάντῃ δ' ὄσσε φέρων. VI 24: ἐχθρὰ φέροι ποτὶ οἶκον (var. φέροιτο ποτ'). — 2) aufero XXII 137: τὼ μὲν ἀναρπάξαντε δύω φερέτην Διὸς υἱὼ | δοιὰς Λευκίπποιο κόρας. met. XXIX 35: αἱ δὲ ταῦτα φέρην (Brunck. pro φέρειν) ἀνέμοισιν ἐπιτρόπης, v. ἄνεμος. — B) Med. *mihi fero, accipio* praemium vel lucrum I 128: ἔνθ' ὦναξ καὶ τάνδε φέρεν πακτοῖο (Ahr. e Schol. pro vulg. φέρ' εὐπάκτοιο) μελίπνουν | ἐκ κηρῶ σύριγγα. XII 31: κοῦροι ἐριδμαίνουσι φιλήματος ἄκρα φέρεσθαι. XVI 16: πόθεν οἴσεται ἀθρεῖ | ἄργυρον. 21: ἐξ ἐμεῦ οἴσεται οὐδέν.

φεῦ *heu, vae,* exclamatio est dolentis vel indignantis IV 26: φεῦ φεῦ βασεῦνται καὶ ταὶ βόες, ὦ τάλαν Αἴγων, εἰς Ἀΐδαν. XXVII 54: φεῦ φεῦ καὶ τὰν μίτραν ἀπέσχισας. 14: φεῦ φεῦ τᾶς Παφίας χόλον ἅζεο καὶ σύγε κώρα. dicitur cum quadam irrisione alterius V 86: φεῦ φεῦ Λάκων τοι ταλάρως σχεδὸν εἴκατι πληροῖ | τυρῶ: 'vae tibi misero'.

φεύγω (praes. φεύγω, -εις, -ει. φεῦγε, -ετε. φεύγειν, -έμεν. φεύγων, -οντος, -οντα. ipf. φεῦγε(ν). fut. dor. φευξῇ. aor. ind. φύγε. ipr. φύγε. φυγών) 1) *fugio, fugam capio* ad periculum imminens evitandum a) abs. XXVI 16: Πενθεὺς μὲν φεῦγεν πεφοβημένος, αἳ δ' ἐδίωκον. XXIV 26: φευγέμεν ὁρμαίνων. XXV 74: (τοὺς μὲν) φευγέμεν ἂψ ὀπίσω δειδίσσετο. XV 54: (κυνοθαρσής) Εὐνόα, οὐ φευξῇ; XXII 198: αἶψα δὲ φεύγειν | ὡρμήθη ποτὶ σῆμα πατρός. XXI 51. Ep. III 5. 6. de iis qui spernunt amantem XI 30: γινώσκω, χαρίεσσα κόρα, τίνος ὥνεκα φεύγεις. 24: φεύγεις δ' ὥσπερ ὄις πολιὸν λύκον ἀθρήσασα. XXIII 13. — b) c. acc. V 2: φεύγετε τὸν Λάκωνα. XI 75: τὰν παρεοῖσαν ἄμελγε. τί τὸν φεύγοντα (sc. τράγον v. κριὸν) διώκεις; VI 17: καὶ φεύγει φιλέοντα καὶ οὐ φιλέοντα διώκει. — c) c. inf. X 48: σῖτον ἀλοιῶντας φεύγειν τὸ μεσαμβρινὸν ὑπνῶν (ex Ahr. coni. scr. pro ὕπνος v. ὕπνον, Ziegl. e coni. Herm. φεύγοι τ. μ. ὕπνος): 'fugiant dormire'. — 2) *effugio, fuga evado* XVI 53: σπήλυγγα φυγὼν ὀλοοῖο Κύκλωπος. XXVII 19: οὐ φεύγεις τὸν Ἔρωτα, τὸν οὐ φύγε παρθένος ἄλλη. XXVII 20. — 3) *aufugio, abripio me* II 152: καὶ ἐς τέλος ᾤχετο φεύγων. XX 10: ἀπ' ἐμεῦ φύγε, μή με μολύνῃς. met. II 92: ἀλλ' ἦς οὐδὲν ἐλαφρόν· ὁ δὲ χρόνος ἄνετο φεύγων, cf. Hor. Od. II 14, 1: eheu fugaces, Postume, Postume, labuntur anni.

φηγός, dor. φāγός 1) *fagus silvatica L.* XII 8: σκιερὴν δ' ὑπὸ φηγὸν (var. φαγόν) | ἠελίου φρύγοντος ὁδοιπόρος ἔδραμεν ὥς τις, cf. Verg. Ecl. I 1: patulae recubans sub tegmine fagi. — 2) *glans quercus aegilopis L.* IX 19: ἐν πυρὶ δὲ δρυίνῳ

χόρια ζεῖ, ἐν πυρὶ δ' αὖαι | φαγοί, χειμαίνοντος, cf. Arist. Pac. 1137: τήν τε φηγὸν ἐμπυρεύων.

φημί v. **φαμί.**

φθάνω *praecurro, anteverto, occupo* II 114: ἦ ῥά με, Σιμαίθα, τόσον ἔφθασας, ὅσσον ἐγὼ θην | πρᾶν ποκα τὸν χαρίεντα τρέχων ἔφθασσα Φιλῖνον, | ἐς τὸ τεὸν καλέσασα τόδε στέγος ἤ με παρῆμεν. (de XXV 264 v. φλάω.)

φθέγγομαι (fut. φθέγξομαι, dor. φθεγξῇ, -εῖται. aor. φθεγξαμένας) *sonum edo* 1) de hominibus: loquor, dico, cano XIV 22: οὐ φθεγξῇ; XVII 136: δοκέω δ' ἔπος οὐκ ἀπόβλητον | φθέγξομαι ἐσσομένοις, cf. XXII 117. XV 99: φθεγξεῖταί τι, σάφ' οἶδα, καλόν (ἁ ἀοιδός). — 2) de bestiis: clamo XIII 62: (λῖς ἐσακούσας) νεβρῶ φθεγξαμένας τις ἐν οὔρεσιν.

φθίω, med. *pereo, morior*; aor. II III 48: οὐδὲ φθίμενόν νιν ἄτερ μαζοῖο τίθητι.

φθονερός *invidus, malevolus* V 39: καὶ πόκ' ἐγὼν παρὰ τεῦς τι μαθὼν καλὸν ἢ καὶ ἀκούσας | μέμναμ'; ὦ φθονερὸν τὺ καὶ ἀπρεπὲς ἀνδρίον αὔτως. XV 19: (ἔλαβ') εἰλεόν, οὐκ οἴκησιν, ὅπως μὴ γείτονες ὦμες | ἀλλάλαις, ποτ' ἔριν, φθονερὸν κακόν, αἰὲν ἑτοῖμος.

φθονέω *invideo* I 129 b: κοὔτοι τὶν φθονέω —: hemistichium versus deperditi et temere olim in v. 62 (ubi varians lectio est pro ea quae nunc legitur κοὔτι τυ κερτομέω) illatum esse videtur A. Fritzschio.

φθόρος *exitium, labes, pernicies, vorago* XV 18: χὠμὸς (sc. ἀνὴρ) ταῦτά γ' ἔχει, φθόρος ἀργυρίω, Διοκλείδας.

φῑερός *nitidus* Ber. 4: (ἰχθύν,) ὃν λεῦκον καλέουσιν, ὁ γὰρ φιερώτατος ἄλλων (var. φιαρώτατος). (de XI 21 v. σφεῖλός.)

φῐλαμα, φῐλημα (sg. φίλαμα, φίλημ', -ήματος. pl. φιλάμασιν, -ήμασιν, -ήματα) *osculum* III 20: ἔστι καὶ ἐν κενεοῖσι φιλήμασιν ἁδέα τέρψις (var. φιλάμασιν), cf. XXVII 4. XXVII 3: κενὸν τὸ φίλαμα λέγουσιν. XV 130: οὐ κεντεῖ τὸ φίλημ', ἔτι οἱ περὶ χείλεα πυρρά (var. φίλαμ'). XII 31: κοῦροι ἐριδμαίνουσι φιλήματος ἄκρα φέρεσθαι. XII 34. XXVII 5.

Φῐλαμμονίδας *Philammonides* h. e. Philammonis filius XXIV 107: ἀοιδὸν ἔθηκε (Herculem) — Φιλαμμονίδας Εὔμολπος.

φιλᾰοιδος (aeol. pro φιλαοιδός) *cantus amator* XXVIII 23: καί οἱ μνᾶστιν ἄει τῷ φιλαοίδω παρέχῃς ξένω: h. e. Theocriti ipsius.

φιλάργυρος *avarus* X 54: κάλλιον, ὠπιμελητὰ φιλάργυρε, τὸν φακὸν ἕψειν.

φιλέρῑθος *studiosus lanificii* XXVIII 1: γλαύκας ὦ φιλέριθ' ἀλακάτα δῶρον Ἀθανάας | γύναιξιν.

φιλεχθής *contentiosus* V 137: τὺ δ' ὦ τάλαν ἐσσὶ φιλεχθής.

φῐλέω, dor. **φιλάω** (act. praes. φιλέεις, -έει, -έοντι, -εῦντι. ipr. aeol. φίλη XXIX 20. φιλέειν, -εῖν. φιλέων, -έοντ(α), -εῦντα, -έοντες. φιλεῦσα, -εούσης, -έοισαι. fut. φιλᾱσεις, -ήσει. aor. ἐφίλησα, -ας, -ε, -αν; φίλᾱσε(ν), ἐφίλᾱσεν. ci. φιλήσω, -άσω, -ήσῃ. φίλασον. φιλᾶσαι. φιλάσας. — pass. aor. dor. ἐφιλᾱθεν. φιληθείς. pf. πεφιλημένος, -ον, -ε. — ubique α pro η Theocrito vindicat Morsbach Diss. de dial. Theocr. Bonnae 1874 p. 13.) 1) *diligo, magni facio, amice tracto, comiter accipio v. excipio* a) aliquem XVI 13: τίς τῶν νῦν τοιόσδε, τίς εὖ εἰπόντα φιλήσει; inprimis de deis personam vel rem cura atque honore prosequentibus V 80: ταὶ Μοῖσαί με φιλεῦντι πολὺ πλέον ἢ τὸν ἀοιδὸν | Δάφνιν. 82: καὶ γάρ ἔμ' ὡπόλλων φιλέει μέγα. XVII 74: (Διὶ Κρονίωνι μέλοντι) αἰδοῖοι βασιλῆες· ὁ δ' ἔξοχος, ὅν κε φιλήσῃ | γεινόμενον τὰ πρῶτα. VII 60: ἀλκυόνες, γλαυκαῖς Νηρηίσι ταὶ τὰ μάλιστα | ὀρνίχων ἐφιλάθεν (sic ex praecepto Callimachi scr. A. Fritzschius, vulg. ἐφίλαθεν, Ahr. e coni. ἐφίληθεν), cf. XI 6. XXI 54. XVI 101. XV 100: δέσποιν', ἃ Γολγώς τε καὶ Ἰδάλιον ἐφίλησας (Ahr. et Ziegl. pro vulg. ἐφίλασας): 'adamasti, tibi in deliciis esse voluisti'; cf. XVI 105. XVII 70. — b) aliquid XXVIII 14: οὕτως ἀνυσίεργος, φιλέει δ' ὅσσα σαόφρονες. — 2) *amo* a) c. acc. III 28: ἔμοιγε μεμναμένῳ εἰ φιλέεις με. XXIX 4: οὐκ ὅλας φιλέειν μ' ἐθέλησθ' ἀπὸ καρδίας. XII 15. XVII 39. Pass. III 3: Τίτυρ', ἐμὶν τὸ καλὸν πεφιλημένε. — b) abs. XVII 42: ὀπ-

πότε κεν φιλέων βαίνῃ λέχος ἐς φιλεούσης. XXIII 33. saepius partic. c. artic. XVI 62: *εἰδὼς τὸν φιλέοντα, τὸν οὐ φιλέοντ' ἔτι μᾶλλον*, cf. VI 17. XI 19. XXIII 3. XXIX 9. 18. XIII 66: *οἱ φιλέοντες*, cf. XXIII 62. XII 16: *ὁ φιληθείς*. — c) c. inf. XXIX 20: *φίλη δ', ἅς κεν ἔρῃς, τὸν ὕμοιον ἔχην ἄει*. — 3) *osculor* V 132: *οὐκ ἔραμ' Ἀλκίππας, ὅτι με πρᾶν οὐκ ἐφίλησε | τῶν ὤτων καθελοῖσ'*: est *χύτρα*, quae dicitur; cf. Tibull. II 5, 91: natusque parenti oscula comprensis auribus eripiet. V 135: *καλόν τί με κάρτ' ἐφίλησεν*. II 126: *εὖδόν τ', εἴ κε μόνον τὸ καλὸν στόμα τεῦς ἐφίλησα* (var. *ἐφίλασα*). XI 55: *τὰν χέρα τευς ἐφίλησα, | αἰ μὴ τὸ στόμα λῇς* (var. *ἐφίλασα*). III 19. VI 42. XX 1. 4. 31. 36. 38. 42. 45. XXIII 40. 43. XXVII 2. 6. 7. Ad. 31. 39.

Φιλητᾶς ***Philetas*** Cous, poeta elegiacus, praeceptor et Theocriti et Ptolemaei Philadelphi VII 40: (*οὔτε τὸν ἐσθλόν*) *Σικελίδαν νίκημι τὸν ἐκ Σάμω οὔτε Φιλητᾶν | ἀείδων*, cf. Quintil. X 1, 58: princeps (elegiae) habetur Callimachus, secundas confessione plurimorum Philetas occupavit.

φιλητός *amore dignus* XV 86: *ὁ τριφίλητος Ἄδωνις, ὁ κὴν Ἀχέροντι φιλητός* (e Reiskii emend. scr. pro *φιλεῖται* v. *φιλῆται*).

φιλικός *amatorius* X 22: *καί τι κόρας φιλικὸν μέλος ἀμβάλεν*.

Φιλίνη ***Philine***, mater Theocriti Ep. XXII 3: *υἱὸς Πραξαγόραο περικλειτῆς τε Φιλίνης*.

Φιλῖνος ***Philinus*** 1) amicus Delphidis II 115: *πρᾶν ποκα τὸν χαρίεντα τρέχων ἔφθασσα Φιλῖνον*. — 2) puer ab Arato amatus VII 105: *εἴτ' ἔστ' ἄρα Φιλῖνος ὁ μαλθακὸς εἴτε τις ἄλλος*. 118: *βάλλετέ μοι τόξοισι τὸν ἱμερόεντα Φιλῖνον*. 121: *Φιλῖνε*. 'Puero delicato ab amandi verbo *φιλέω* nomen dari potuisse ficticium propter nomina similia probabile est'. A. Fr.

Φιλίστα ***Philista*** tibicina II 145: *ἅ τε Φιλίστας | μάτηρ, τᾶς Σαμίας αὐλητρίδος, ἅ τε Μελιξοῦς*.

Φιλοίτιος ***Philoetius***, bubulcus Ulixis XVI 55: *βουσὶ Φιλοίτιος ἀμφ' ἀγελαίαις | ἔργον ἔχων*.

φιλοίφης ***homo libidinosus*** IV 62: *εὖ γ' ὤνθρωπε φιλοίφα: φιλῶν τὸ συνουσιάζειν· οἰφεῖν γὰρ τὸ συνουσιάζειν*. Schol.

φιλοκέρδεια *aviditas lucri* XVI 63: *φιλοκερδείῃ βεβλημένον ἄνδρα παρελθεῖν* (var. *φιλοκερδείᾳ*).

φιλοκέρτομος *maledictorum amans* V 77: *τὺ δ' ἄγαν φιλοκέρτομος ἐσσί*.

φιλόμουσος *Musarum amans* vocatur Ptolemaeus XIV 61: *εὐγνώμων, φιλόμουσος, ἐρωτικός, εἰς ἄκρον ἁδύς*.

φιλόξεινος *hospitalis* XVI 39: (*ἐνδιάασκον*) *ἔμμενὲς ἔκκριτα μῆλα φιλοξείνοισι Κρεώνδαις*.

φιλόπαις *puerorum amans* XII 29: *ἐτιμήσασθε Διοκλέα τὸν φιλόπαιδα*.

φιλοποίμνιος *gregis amans* V 106: *χάμῖν ἐστι κύων φιλοποίμνιος*, cf. Hor. Epod. VI 6: amica vis pastoribus.

φιλοπτόλεμος *belli amans, bellicosus* XVII 89: *Λυκίοις τε φιλοπτολέμοισί τε Καρσί*.

φίλος (sg. m. *φίλος, -ω, -ον, -(ε)*. f. *φίλα, -ας, -ᾳ, -αν, -α*. n. *φίλον*. — pl. m. *φίλοι, -ων, -οι*. f. *φίλαι, -αις, -ησιν, -ας, -αι*. n. *φίλα*. — superl. *φιλαίτατος*. formae iambum efficientes duodecies exstant post caesuram *κατὰ τρίτον τροχαῖον* more Homerico, e. g. VII 104.) I) adi. 1) pass. *amatus, acceptus, gratus, iucundus, carus* a) de personis XVII 29: *φίλας ἐς δῶμ' ἀλόχοιο*. 123: *ματρὶ φίλᾳ καὶ πατρὶ θυώδεας εἵσατο ναούς*, cf. II 109. XXIV 132. XXV 104. XIII 8: *πατὴρ ὡσεὶ φίλον υἱέα*. XXV 160: *Αὐγείω φίλος υἱός*, cf. 54. XXII 29: *θεῶν φίλα τέκνα φέρουσα*, cf. XXIV 22. XXVII 31. II 3: *φίλον ἄνδρα*. XI 39: *τίν, τὸ φίλον γλυκύμαλον*. add. dat. I 141: *τὸν Μοίσαις φίλον ἄνδρα, τὸν οὐ Νύμφαισιν ἀπεχθῆ*. VII 98: *ὥρατος δ' ὁ τὰ πάντα φιλαίτατος ἀνέρι τήνῳ*. 95: *ἐπάκουσον, ἐπεὶ φίλος ἔπλεο Μοίσαις*, cf. IX 31. 35. XV 144. XXII 215. Ep. XI 4. — saepe voc. in compellatione V 73: *Εὐμαρίδα δὲ τὰς αἶγας ὁρῇς, φίλε, τῶ Συβαρίτα*, cf. XXIII 44. IV 39: *ὅσον ἄλγος ἐμίν, φίλα, ὅσσον ἀπέσβης*, cf. XV 11. XXII 165: *φίλοι*. XXV 280: *οὗτός τοι Νεμέου γένετ', ὦ φίλε, θηρὸς ὄλεθρος*, cf. XXI 22. add. gen. XV 74: *φίλ' ἀνδρῶν*, cf. XXIV 40. nomen IV 41: *φίλε Βάττε*, cf. XIV 10. XV 143. V 70: *Μόρσων φίλε*, cf. VII 27. 91. XV 52. II 142: *φίλα — Σελάνα*, cf. III 50. XV

1: Γοργοῖ φίλα, cf. III 22. XXVII 51. XXII 154: φίλοι ἄνδρες. V 68: ὦ φίλε — Μόρσων, cf. XII 1. XV 136. XVIII 9. XXIX 1. nom. φίλος est pro vocativo I 61: αἴκα μοι τύ, φίλος, τὸν ἐφίμερον ὕμνον ἀείσῃς, cf. I 149. VII 50. XXVII 24. — b) de rebus VII 104: ἄκλητον κείνοιο φίλας ἐς χεῖρας ἐρείσαις, cf. XVII 65. XXII 206: φίλον γάμον ἐκτελέσαντα. XXI 20: τοὺς δ' ἁλιεῖς ἤγειρε φίλος πόνος: assuetus. — c. dat. XXII 42: ἄνθεά τ' εὐώδη, λασίαις φίλα ἔργα μελίσσαις. — XXII 117: φθέγξομαι ὅσσ' ἐθέλεις σύ, καὶ ὅππως τοι φίλον αὐτῇ. — 2) act. *amicus*, *benignus*, *comis* a) de personis XV 104: βάρδισται μακάρων Ὧραι φίλαι. II 124: καί μ' εἰ μέν κ' ἐδέχεσθε, τὰ δ' ἧς φίλα: 'hi (sodales mei) amicos se praestitissent'. in compellatione I 64: Μοῖσαι φίλαι. VII 106: ὦ Πὰν φίλε. XXII 23: ὦ φίλοι ἄμφω. — b) de rebus XI 68: οὐδὲν πήποχ' ὅλως ποτὶ τὶν φίλον εἶπεν ὑπέρ μευ. XVII 18: Ἀλέξανδρος φίλα εἰδώς. XXIV 119: φίλα φρονέων. — II) subst. *amicus*, *amasius*, *sodalis* II 119: ἢ τρίτος ἠὲ τέταρτος ἐὼν φίλος, cf. XXIII 57. XXVIII 25: πάντα δὲ τίματα τὰ πὰρ φίλω (var. φίλων), cf. XVI 86. XXIX 17: τῷ δ' εὔθυς πλέον ἢ τριέτης ἐγένευ φίλος. 34: ἀλλάλοις πελώμεθ' Ἀχιλλέιοι φίλοι. XIV 37: ἄλλον ἰοῖσα | θάλπε φίλον.

φιλόστοργος *ad amorem propensus* XVIII 13: παῖδα δ' ἐὰν σὺν παισὶ φιλοστόργῳ παρὰ ματρί | παίσδειν.

φιλότης *amicitia*, *amor* XII 20: ἡ σὴ νῦν φιλότης καὶ τοῦ χαρίεντος αἴτεω | πᾶσι διὰ στόματος. XVI 66: τιμήν τε καὶ ἀνθρώπων φιλότητα. — XVIII 54: εὕδετ' ἐς ἀλλάλων στέρνον φιλότητα πνέοντες | καὶ πόθον.

φίλτρον *herba magica* ad amorem illiciens II 1: πᾷ μοι ταὶ δάφναι; φέρε, Θεστυλί· πᾷ δὲ τᾷ φίλτρα;: τὰ πρὸς φιλίαν ὀτρύνοντα φάρμακα. Schol. II 159: νῦν μὲν τοῖς φίλτροις καταδήσομαι.

φίλυπνος *amans somni*, *somnulentus* XVIII 10: ἦ ῥά τις ἐσσὶ λίαν βαρυγούνατος; ἦ ῥα φίλυπνος;

Φιλώνδας (patron. dor. v. aeol. pro Φιλωνίδας) *Philondas* pastor IV 1: εἰπέ μοι, ὦ Κορύδων, τίνος αἱ βόες; ἦ ῥα Φιλώνδα; diversa persona videtur esse V 114: καὶ γὰρ ἐγὼ μισέω τὼς κανθάρος, οἳ τὰ Φιλώνδα | σῦκα κατατρώγοντες ὑπανέμιοι φορέονται.

φλάω (att. v. aeol. pro θλάω) *concido pugnis*, *percutio*, *verbero* V 148: (εἴ τιν' ὀχευσεῖς) τᾶν αἰγῶν, φλασσῶ τυ. 150: (ἀλλὰ γενοίμαν,) αἴ μή τυ φλάσσαιμι, Μελάνθιος ἀντὶ Κομάτα. XXV 264: (τὸν μὲν) αὐχένος ἀρρήκτοιο παρ' ἰνίον ἔφλασα προφθάς (e Bergkii coni. scr. pro ἔφθασα v. ἤλασα, Ahr. e coni ἤχμασα). XI 70: φλασσῶ τὰν κεφαλὰν καὶ τὼς πόδας ἀμφοτέρως νιν | σφύσδειν (lect. var. φλασῶ h. e. φλασσῶ pro φασῶ v. φάσω rec. A. Fritzschius, idemque e coni. scr. νιν pro μευ).

φλιά *limen superius postium* II 59: Θεστυλί, νῦν δὲ λαβοῖσα τὺ τὰ θρόνα ταῦθ' ὑπόμαξον | τᾶς τήνω φλιᾶς καθ' ὑπέρτερον (e Mein. emend. scr. pro φλοιᾶς v. φιλίας). XXIII 18: καὶ κύσε τὰν φλιάν.

φλῖβω (aeol. pro θλίβω) *premo* XV 76: φλίβεται Εὐνόα ἄμιν (vulg. θλίβεται).

φλόγεος *flammeus*, *flagrans* XXII 211: αὐτὸν δὲ φλογέῳ συνέφλεξε κεραυνῷ.

φλογερός *ardens* II 134: (Ἔρως δ' ἄρα καὶ Λιπαραίω) πολλάκις Ἡφαίστοιο σέλας φλογερώτερον αἴθει.

φλοιός *cortex* XVIII 47: γράμματα δ' ἐν φλοιῷ γεγράψεται, cf. Prop. I 18, 22: scribitur et vestris Cynthia corticibus.

φλόξ *flamma*, met. de amore XXIII 16: λοίσθιον οὐκ ἤνεικε τόσαν φλόγα τᾶς Κυθερείας. II 26: οὕτω τοι καὶ Δέλφις ἐνὶ φλογὶ σάρκ' ἀμαθύνοι.

φοβέομαι *terreor*, *timeo* XXVI 16: Πενθεὺς μὲν φεῦγεν πεφοβημένος. c. acc. XXIII 41: μή με φοβαθῇς. Ad. 16: φοβεῖτο γὰρ Κυθήρην.

φοβερός *terribilis*, *timendus* XXIII 50: (ἐρεισάμενος δ' ἐπὶ τοίχῳ) ἄχρι μέσων οὐδῶν φοβερὸν λίθον: propter magnitudinem. VIII 57: δένδρεσι μὲν χειμὼν φοβερὸν κακόν, ὕδασι δ' αὐχμός, cf. Verg. Ecl. III 80: triste lupus stabulis, maturis frugibus imbres. — c. inf. XXII 2: φοβερὸν Πολυδεύκεα πὺξ ἐρεθίζειν.

φοιβάω *purgo* XVII 133: ἁδνὸν δὲ στόρνυσιν ἰαύειν Ζηνὶ καὶ Ἥρῃ |

χεῖρας φοιβήσασα μύροις [ἔτι παρθένος] Ἶρις: καθάρασα, πλύνασα. Gloss.

Φοῖβος *Phoebus* XVII 67: Δᾶλον ἐτίμασεν κυανάμπυκα Φοῖβος Ἀπόλλων. VII 101: (ὃν οὐδέ κεν αὐτὸς ἀείδεν) Φοῖβος σὺν φόρμιγγι παρὰ τριπόδεσσι μεγαίροι.

φοινίκεος *purpureus, puniceus* II 2: στέψον τὰν κελέβαν φοινικέῳ οἰὸς ἀώτῳ: 'purpureae lanae maxima in incantamentis efficacia tribuebatur', cf. Clem. Alex. Strom. VII 6, p. 843: ἔρια πυρρὰ δεδίασιν. Prop. V 9, 51: alma sacerdos puniceo canas stamine vincta comas. Mart. IX 62.

Φοινίκη *Phoenice, Phoenicia* XVII 86: ναὶ μὴν Φοινίκας ἀποτέμνεται Ἀρραβίας τε | καὶ Συρίας.

φοινικόλοφος *puniceam cristam habens* XXII 72: ὀρνίθων φοινικολόφων τοιοίδε κυδοιμοί.

φοῖνιξ *puniceus* XXII 195: φοίνικα δ' ὅσον λόφον ἵκετ' ἀκωκή. XXV 127: (ταῦροι συνάμ' ἐστιχόωντο) κνήμαργοί θ' ἕλικές τε, διηκόσιοί γε μὲν ἄλλοι | φοίνικες.

Φοῖνιξ *Poenus, Carthaginiensis* XVI 76: ἤδη νῦν Φοίνικες ὑπ' ἠελίῳ δύνοντι | οἰκεῦντες Λιβύας ἄκρον σφυρὸν ἐρρίγασιν. — fem. **Φοίνισσα** *Phoenissa* XXIV 50 b: ἦ ῥα γυνὰ Φοίνισσα μύλαις ἔπι κοῖτον ἔχουσα.

φοίνιος *funestus, dirus* (v. Buttm. ad Soph. Phil. 783) XXII 98: ἔστη δὲ πληγαῖς μεθύων, ἐκ δ' ἔπτυσεν αἷμα | φοίνιον, cf. Od. XVIII 97: αὐτίκα δ' ἦλθε κατὰ στόμα φοίνιον αἷμα.

φοινίσσω *puniceo colore inficio, rubefacio* XXIII 61: νᾶμα δ' ἐφοινίχθη: sc. sanguine. met. XX 16: καὶ χρόα φοινίχθην ὑπὸ τὤλγεος ὡς ῥόδον ἕρσᾳ: erubui.

φοιτάω (praes. dor. φοιτῇς, -ῇ. φοιτῶσαι. ipf. dor. ἐφοίτη) *ito, itito, ventito* I 48: ἀμφὶ δέ νιν δύ' ἀλώπεκες ἁ μὲν ἀν' ὄρχως | φοιτῇ σινομένα τὰν τρώξιμον. II 97: τήρησον ποτὶ τὰν Τιμαγήτοιο παλαίστραν· | τηνεῖ γὰρ φοιτῇ, τηνεῖ δέ οἱ ἁδὺ καθῆσθαι. II 155: ἦ γάρ μοι καὶ τρὶς καὶ τετράκις ἄλλοκ' ἐφοίτη. V 113. XI 22.

Φόλος *Pholus* Centaurus VII 149: ἆρά γέ πᾳ τοιόνδε Φόλω κατὰ λάινον ἄντρον | κρατῆρ' Ἡρακλῆι γέρων ἐστήσατο Χείρων;: Φόλος ὄνομα κενταύρου, ᾧ ἐπιξενωθεὶς ὁ Ἡρακλῆς οἶνον ἔπιε καλὸν ἐκ Διονύσου δοθέντα. συνῆν δὲ αὐτῷ καὶ Χείρων. Schol., cf. Apollod. II 5, 4. Diod. Sic. IV 12.

φονεύς *interfector* XXII 209: μέλλε κασιγνήτοιο βαλεῖν σφετέροιο φονῆα.

φονεύω *interficio* XXIII 62: χαίρετε τοὶ φιλέοντες· ὁ γὰρ μισῶν ἐφονεύθη.

φόνος (sg. φόνῳ, -ον) 1) *caedes* XXII 82: ἐς μέσσον σύναγον, φόνον ἀλλήλοισι πνέοντες. 191: τὼ δ' ἄορ ἐκ κολεοῖο ἐρυσσαμένω φόνον αὖθις | τεῦχον ἐπ' ἀλλήλοισιν. XXV 137: δεινὸν δ' ἐβρυχῶντο φόνον λεῦσσόν τε προσώπῳ. XXIII 55. — 2) *sanguis* in caede effusus XXV 225: αὐχμηρὰς πεπάλακτο φόνῳ χαροπόν τε πρόσωπον.

φορέω (act. praes. ind. aeol. φόρει, φορέοισ'. opt. φορέοιτε, -οιεν. inf. aeol. φόρην (ci.). part. aeol. φορεῦντος, -εῦσαι. ipf. φορέεσκε. — pass. praes. φορεῖται, -έονται) verb. frequ. v. intens. 1) Act. *fero, gesto* XVI 98: ὑψηλὸν δ' Ἱέρωνι κλέος φορέοιεν ἀοιδοί | καὶ πόντου Σκυθικοῖο πέραν καὶ ... XV 105: (Ὧραι) ἔρχονται πάντεσσι βροτοῖς αἰεί τι φορεῦσαι (e coni. Herm. pro φοροῦσαι v. φοροῖσαι). de plantis fructus edentibus I 132: νῦν δ' ἴα μὲν φορέοιτε βάτοι, φορέοιτε δ' ἄκανθαι, cf. Verg. Ecl. III 89: ferat et rubus asper amomum. inprimis de vestibus, quibus induti sumus, et de toto corporis habitu XXVIII 11: πόλλα δ' οἷα γύναικες φορέοισ' ὑδάτινα βράκη. XXIX 29: πτέρυγας γὰρ ἐπωμαδίαις φόρει (var. φόρῃ, vulg. φορεῖ): sc. νεότας. XIII 7: τῶ χαρίεντος Ὕλα, τῶ τὰν πλοκαμῖδα φορεῦντος. XXII 114: (ὁ δ' αἰεὶ πάσσονα γυῖα) ἀπτόμενος φορέεσκε πόνον χροιῇ δέ τ' ἀμείνω. — met. fero, sustineo XXX 33: ἦκα φόρην πρέπει (A. Fritzschius pro cod. φορεῖ): sc. ἔρωτα. — 2) Pass. *feror* cum vi quadam vel impetu I 83: πάσας ἀνὰ κράνας, πάντ' ἄλσεα ποσσὶ φορεῖται. V 114: μισέω τὼς κανθάρος, οἳ τὰ Φιλώνδα | σῦκα κατατρώγοντες ὑπανέμιοι φορέονται.

φόρμιγξ *cithara* XXIV 107: αὐτὰρ ἀοιδὸν ἔθηκε καὶ ἄμφω χεῖρας ἔπλασσε | πυξίνᾳ ἐν φόρμιγγι Φιλαμμονίδας Εὔμολπος. VII 101: (ὃν οὐδέ κεν αὐτὸς ἀείδεν) Φοῖβος σὺν φόρμιγγι παρὰ τριπόδεσσι μεγαίροι, cf. Il. I 603: φόρμιγγος περικαλλέος, ἣν ἔχ' Ἀπόλλων.

φορμός *teges iuncea, storea* XXI 13: *νέρθεν τᾶς κεφαλᾶς φορμὸς βραχύς, εἵματα πῦσοι.*

φόρωμι (aeol. pro φορόω, φορέω) *fero, gesto* XXX 14: *λεύκας οὐ συνίησθ' ὄττι φόροις ἐν κροτάφοις τρίχας;*

Φορωνεῖδαι *Phoronei, regis Argivorum, posteri* h. e. *Argivi* XXV 199: *ἀθανάτων τιν' ἐίσκομεν ἀνδράσι πῆμα | ἱρῶν μηνίσαντα Φορωνείδῃσιν ἐφεῖναι* (e Mein. emend. scr. pro *Φορωνήεσσιν*).

φραγμός *septum, maceria* V 108: *ἀκρίδες, αἳ τὸν φραγμὸν ὑπερπαδῆτε τὸν ἁμόν.*

φρᾰδή *consilium* XXV 52: *ἀθανάτων, ὦ ξεῖνε, φραδῇ τινος ἐνθάδ' ἱκάνεις*, cf. Verg. Aen. IV 45: dis — auspicibus.

φράζω, aeol. **φράσδω** (act. praes. *φράσδεις*. aor. *φράσον*. — med. praes. *φράζομαι, φράσδῃ. φράζεο*. aor. *ἐφρᾰσάμαν. φρασθῆναι*) 1) Act. *indico, dico* XXV 47: *δμώων δή τινα, πρέσβυ, σύ μοι φράσον ἡγεμονεῦσαι* (vulg. *ἡγεμονεύσας*). XX 7: *ὡς τρυφερὸν λαλέεις, ὡς κωτίλα ῥήματα φράσδεις.* — 2) Med. *mecum considero, cogito, cognosco* II 69: *φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα*, qui versus repetitur II 75. 81. 87. 93. 99. 105. 111. 117. 123. 129. 135. VI 13: *φράζεο μὴ τᾶς παιδὸς ἐπὶ κνάμαισιν ὀρούσῃ.* I 102: *ἤδη γὰρ φράσδῃ πάνθ' ἅλιον ἄμμι δεδυκεῖν*; c. acc. XXV 217: (*οὐδενὸς ἴχνια τοίου*) *φρασθῆναι δυνάμην.* 180: *ἐγὼ δέ σε φράζομαι ὀρθῶς.* c. gen. II 83: *κοὔτε τι πομπᾶς | τήνας ἐφρασάμαν: αἴσθησιν ἔσχον.* Schol.

Φρᾰσίδᾱμος *Phrasidamus*, Lycorei filius, Cous VII 3: *τᾷ Δηοῖ γὰρ ἔτευχε Θαλύσια καὶ Φρασίδαμος | κἀντιγένης, δύο τέκνα Λυκωπέος.* 131: *ἐγώ τε καὶ Εὔκριτος ἐς Φρασιδάμω | στραφθέντες.*

φρήν (sg. *φρενός, φρένα.* pl. *φρένες.* aeol. **φρένων** ci. XXIX 3. *φρεσί(ν), φρένας*) *mens*, et sedes affectuum et affectus ipse; 1) sing. I 35: *τὰ δ' οὐ φρενὸς ἅπτεται αὐτᾶς.* XXVII 13: *τὴν σαυτοῦ φρένα τέρψον*, cf. Syr. 4. VIII 90: *κατεσμύχθη καὶ ἀνετράπετο φρένα λύπᾳ.* — 2) plur. XVII 14: *ὅτε φρεσὶν ἐγκατάθοιτο | βουλάν.* XXIV 72: *ἐν φρεσὶ θέσθαι.* XXV 276: *ἐπὶ φρεσὶ θῆκε.* 163: *σφετέρῃσιν ἐνὶ φρεσὶ βάλλομαι ἄρτι.* 58: *ἐείδεται ἐν φρεσὶν ᾗσιν.* 76: *χαίρων ἐν φρεσὶν ᾗσιν.* 240: *ἀσώμενος ἐν φρεσὶν αἰνῶς.* XXI 21. XXIX 3: *κήγω μὲν τὰ φρένων* (vulg. *φρενῶν*) *ἔρέω κέατ' ἐν μύχῳ.* — XXIX 23: (*Ἔρος,*) *ὃς ἄνδρων φρένας εὐμαρέως ὑποδάμναται.* XIII 48: *πασάων γὰρ ἔρως ἁπαλὰς φρένας ἐξεσόβησεν.* XXX 5: *τὸ κάκον ταίς μεν ἔχει τλησιπό[νοις φρένας]* (A. Fritzschius e coni. pro cod. *ταὶς δ' οὔ*). II 7: (*ἀλλᾶ*) *ᾤχετ' ἔχων ὅ τ' Ἔρως ταχινὰς φρένας* (Delphidis) *ἅ τ' Ἀφροδίτα.* II 19 = XI 72: *πᾷ τὰς φρένας ἐκπεπότασαι*; de animalibus XXV 80: *εἴ οἱ* (sc. *κυνὶ*) *καὶ φρένες ὧδε νοήμονες ἔνδοθεν ἦσαν.* abstr. pro concr. XIV 31: (*ἆδεν*) *Θεσσαλικόν τι μέλισμα, κακαὶ φρένες*: 'improbum illud ingenium v. caput, malus ille homo'.

φρῐμάσσομαι *flatum naribus emitto luxurians* V 141: *φριμάσσεο πᾶσα τραγίσκων | νῦν ἀγέλα: μεθ' ἡδονῆς σκίρτα φυσῶσα τοῖς μυκτῆρσι καὶ ἐπαίρου. ἀπὸ τοῦ ἤχου τῶν αἰγῶν ὠνοματοπεποίηται.* Schol.

φρίσσω *horreo* XXV 244: *πυρσαὶ δ' ἔφριξαν ἔθειραι | σκυζομένῳ*: leoni, cf. Ovid. Met. VIII 285: et setae similes rigidis hastilibus horrent. XXIV 14: *κυανέαις φρίσσοντας ὑπὸ σπείραισι δράκοντας*, cf. Ov. Her. XII 101: insopor ecce vigil (draco) squamis crepitantibus horrens sibilat.

φρονέω 1) abs. *mentis sum compos, sapio* XXX 15: *ὤρα τοι φρονέειν* (cod. *φρονέσιν*). XVI 23: *οὐχ ἅδε πλούτου φρονέουσιν ὄνασις.* XXIV 70: *μάλα σε φρονέοντα διδάσκω.* — 2) c. acc. *volvo in mente, cogito* XXIV 119: *Ἀμφιτρύων ὃν παῖδα φίλα φρονέων ἐδίδαξεν*: benigne, cf. Od. I 307: *ξεῖν', ἦ τοι μὲν ταῦτα φίλα φρονέων ἀγορεύεις, | ὥς τε πατὴρ ᾧ παιδί.*

φροντίζω *curo* XXVI 27: *οὐκ ἀλέγω μηδ' ἄλλον ἀπεχθόμενον Διονύσῳ | φροντίζοιμ' εἰ καὶ χαλεπώτερα τῶνδε μογήσαι* (e Kreussleri et Ahr. emend. scr. A. Fritzschius): de accus. cf. Arist. Equ. 783.

φροντίς *cura, sollicitudo* XXI 28: (*τὸν ὕπνον*) *ἁ φροντὶς κόπτοισα μακρὰν τὰν νύκτα ποιεῖ τοι.*

φρουρέω *excubo, servo* VII 122: *μηκέτι τοι φρουρέωμες ἐπὶ προθύροισιν, Ἄρατε*: 'ne amplius excubemus ad fores pueri lenti ac duri'.

Φρῦγία *Phrygia*, ancilla Praxinoae XV 42: *Φρυγία, τὸν μικκὸν παῖσδε λαβοῖσα.*

Φρύγιος *Phrygius* XX 35: (*Κύπρις*) *Φρυγίοις ἐνόμευσεν ἐν ὥρεσιν.*

φρῦγω *torreo* XII 9: *ἠελίου φρύγοντος*, cf. Verg. Ecl. II 13: sole sub ardenti. IX 12: *τῶ δὲ θέρευς φρύγοντος ἐγὼ τόσσον μελεδαίνω.* VI 16: *τὸ καλὸν θέρος ἀνίκα φρύγει.* — c. acc. fut. dor. VII 66: *κύαμον δέ τις ἐν πυρὶ φρυξεῖ.*

Φρύξ *Phryx* XVI 75: *ἐν πεδίῳ Σιμόεντος, ὅθι Φρυγὸς ἠρίον Ἴλου.* v. *Ἶλος.*

φῠγάς *profugus, exsul* XXIV 127: *Κάστωρ ἱππαλίδας δέδαεν, φυγὰς Ἄργεος ἐνθών.*

φῠή *forma* XXII 160: (*κόραι*) *μυρίαι οὔτε φυῆς ἐπιδευέες οὔτε νόοιο*, cf. Hes. scut. 88: *οὔτε φυὴν ἐναλίγκιοι οὔτε νόημα.*

φῡκιόεις *algosus* XI 14: *αὐτεῖ ἐπ' αἰόνος κατετάκετο φυκιοέσσας*, cf. Il. XXIII 693: *θίν' ἐν φυκιόεντι.* — XXI 10: *τἄγκιστρα, τὰ φυκιόεντά τε λαίφη.*

φῡκίον *alga* VII 58: *τόν τε Νότον τόν τ' Εὖρον, ὃς ἔσχατα φυκία κινεῖ.*

φῦκος *fucus* marinus XV 16: *νίτρον καὶ φῦκος ἀπὸ σκανᾶς ἀγοράσδων*: *τὸ χορτῶδες τῆς θαλάσσης ἀπόβλημα, ᾧτινι τὰς ὄψεις χρίουσι* (*αἱ γυναῖκες*). Gloss., cf. Lucian. Amor. c. 41: *τὰς ἀναισχύντους παρειὰς ἐρυθαίνουσιν ἐπιχρίστοις φύκεσιν, ἵνα τὴν ὑπέρλευκον αὐτῶν καὶ πίονα χροιὰν τὸ πορφυροῦν ἄνθος ἐπιφοινίξῃ.*

φῠλακος (aeol. pro *φύλαξ*) *custos* XXIX 38: *βαίην καὶ φύλακον πεδὰ Κέρβερον.*

φῠλάσσω (act. praes. *φυλάσσω, -ει, -οι. φυλάσσειν. φυλάσσων.* ipf. *ἐφύλασσον.* aor. inf. *φυλάξαι.* fut. dor. *φυλαξεῖς.* — pass. pf. *πεφυλαγμένοι.* — med. praes. *φυλάσσεο.* fut. *φυλάξομαι.* pf. *πεφυλαγμένος*) I) Act. 1) *custodio, observo* I 47: (*ἀλωά*,) *τὰν ὀλίγος τις κῶρος — φυλάσσει.* XXV 269: *μηροῖσί τε πλευρ' ἐφύλασσον*: leonis. IV 4: *ἀλλ' ὁ γέρων ὑφίητι τὰ μοσχία κἠμὲ φυλάσσει.* XXIV 118: (*περὶ νύσσαν*) *ἀσφαλέως κάμπτοντα τροχῶ σύριγγα φυλάξαι.* — 2) *asservo, conservo* XVII 104: *ᾧ ἐπίπαγχυ μέλει πατρώια πάντα φυλάσσειν.* I 63: (*πόταγ', ὠγαθέ· τὰν γὰρ ἀοιδάν*) *οὔτι πα εἰς Ἀίδαν γε τὸν ἐκλελάθοντα φυλαξεῖς.* XV 113: *πὰρ δ' ἁπαλοὶ κᾶποι πεφυλαγμένοι ἐν ταλαρίσκοις*: 'diligenter servati et accurate culti'. II 120: *μᾶλα μὲν ἐν κόλποισι Διωνύσοιο φυλάσσων,* | *κρατὶ δ' ἔχων λεύκαν*: diligenter ac caute ferens, cf. VII 64: *λευκοΐων στέφανον περὶ κρατὶ φυλάσσων.* — add. dat. III 22: (*τὸν στέφανον*,) *τόν τοι ἐγών, Ἀμαρυλλὶ φίλα, κισσοῖο φυλάσσω.* 34: *ἦ μάν τοι λευκὰν διδυματόκον αἶγα φυλάσσω.* V 105: *τᾷ παιδὶ δὲ ταῦτα φυλάσσω.* VI 24: *ἐχθρὰ φέροι ποτὶ οἶκον, ὅπως τεκέεσσι φυλάσσοι*, cf. II 161. — II) Med. *caveo*, c. acc. XVI 95: (*τέττιξ*) *ποιμένας ἐνδίους πεφυλαγμένος ἔνδοθι δένδρων* | *ἀχεῖ*: *ἐλάσαντες οὗτοι ὑπὸ τὴν σκιὰν τὰ θρέμματα ἐν τῇ μεσημβρίᾳ θηρῶσι τοὺς τέττιγας.* Schol. III 5: (*τὸν ἐνόρχαν*) *τὸν Λιβυκὸν κνάκωνα φυλάσσεο μή τι κορύψῃ.* XV 71: *φυλάσσεο τὠμπέχονόν μευ.* Ξ. *οὐκ ἐπ' ἐμὶν μέν, ὅμως δὲ φυλάξομαι*, ubi idem fere valet atque: abstinebo, parcam.

Φῡλεύς *Phyleus*, Augiae regis filius XXV 55: (*ὧδε γὰρ Αὐγείης*.) *σφωιτέρῳ σὺν παιδί, βίῃ Φυλῆος ἀγαυοῦ,* | *χθιζὸς ὅδ' εἰλήλουθεν ἀπ' ἄστεος.* 150: *θαύμαζεν δ' αὐτός τε ἄναξ υἱός τε δαΐφρων* | *Φυλεύς.* 154. 190.

φύλλινος *foliaceus, e foliis confectus* XXI 8: *κεκλιμένοι τοίχῳ τῷ φυλλίνῳ* (*τᾶς καλύβας*).

φύλλον (sg. *φύλλον.* pl. *φύλλοις, -οισιν, -α*) 1) sing. *folium*, met. XXX 32: *ἔμε μάν, φύλλον* (Th. Fritzschius pro cod. *φίλον*) *ἐπάμερον,* | *σμίκρας δεύμενον αὔρας ὀνέμων, ἦκα φόρην πρέπει.* — 2) plur. *frons, frondes* h. e. folia in ramis haerentia nec non cum floribus iuncta XXVI 3: *ἀμερξάμεναι λασίας δρυὸς ἄγρια φύλλα.* IX [4]: *χοἱ μὲν ἅμα βόσκοιντο καὶ ἐν φύλλοισι πλανῷντο*: 'in virgultis'. XI 26: *θέλοισ' ὑακίνθινα φύλλα* | *ἐξ ὄρεος δρέψασθαι*: 'flores hyacinthi cum suis foliis'. XVIII 39: *ἄμμες δ' ἐς δρόμον ἦρι καὶ ἐς λειμώνια φύλλα* | *ἑρψοῦμες στεφάνως δρεψούμεναι ἁδὺ πνέοντας*: 'flores una ac folia herbidi prati'. XXII 106. XXI 35.

φυλλοστρώς *foliis stratus* Ep. III 1: *εὕδεις φυλλοστρῶτι πέδῳ, Δάφνι, σῶμα κεκμακὸς* | *ἀμπαύων.*

φῡλοπις *proelium* XVI 50: *φυλόπιδας προτέρων ὕμνησαν ἀοιδοί.*

φύρω *inquino, perfundo* XXVI 25: ἐς Θήβας δ' ἀφίκοντο πεφυρμέναι αἵματι πᾶσαι.

φῡσάω *inflo, inspiro* XIX 3: ὁ δ' ἄλγεε καὶ χέρ' ἐφύση: quam apis pupugerat. XXII 77: (θοῶς συνάγερθεν) κόχλον φυσηθέντος ἀεὶ Βέβρυκες κομόωντες, cf. Ov. Met. I 333: conchae sonanti inspirare.

φῠσιγνώμων *naturae ex oris habitu cognoscendae peritus* Ep. XI 1: Εὐσθένεος τὸ μνῆμα· φυσιγνώμων ὁ σοφιστής, δεινὸς ἀπ' ὀφθαλμοῦ καὶ τὸ νόημα μαθεῖν.

Φύσκοι *Physci* IV 23: καὶ μὰν ἐς Στομάλιμνον ἐλαύνεται ἔς τε τὰ Φύσκων: 'coloni prisci significari videntur, fortasse Locri, Crotoniatarum vicini (erant autem vicini Crotoniatarum Locri Epizephyrii), quorum agri publici iuris facti erant. Scripsi e cod. Q. Φύσκων pro Φύσκω, quod Mein. de fundo cum silva et pascuis a Physco nescio quo olim possesso posse dici existimat'. A. Fr.

φῠτόν (sg. φυτόν, aeol. φύτον XXVIII 7. — pl. φυτῶν) 1) *planta, stirps,* quidquid terra gignit XXV 1: τὸν δ' ὁ γέρων προσέειπε φυτῶν ἐπίουρος ἀροτρεύς. VIII 37: κρᾶναι καὶ βοτάναι, γλυκερὸν φυτόν. II 48: ἱππομανὲς φυτόν ἐστι παρ' Ἀρκάσι. de vitibus I 53: μέλεται δέ οἱ οὔτε τι πήρας | οὔτε φυτῶν τοσσῆνον. XXIV 101: Ἡρακλέης δ' ὑπὸ ματρὶ νέον φυτὸν ὣς ἐν ἀλωᾷ | ἐτρέφετ', cf. Il. XVIII 438: τὸν μὲν ἐγὼ θρέψασα φυτὸν ὣς γουνῷ ἀλωῆς. de platano XVIII 48: (γράμματα δ' ἐν φλοιῷ γεγράψεται·) σέβου μ'· Ἑλένας φυτὸν εἰμί. — 2) met. de homine *germen, stirps* XXVIII 7: Νικίαν, Χαρίτων ἰμεροφώνων ἴερον φύτον. v. ἔρνος VII 44.

φῠτοσκάφος *fossor* (ὁ τὰ φυτὰ περισκάπτων γεωργός. Etym. M.) XXV 27: οὔρους μὴν ἴσασι φυτοσκάφοι οἱ πολύεργοι. XXIV 136: (μέγας ἄρτος) Δωρικὸς ἀσφαλέως κε φυτοσκάφον ἄνδρα κορέσσαι: 'nos diceremus in re simili: einen Scheunendrescher völlig zu sättigen'; cf. Verg. Georg. II 264: robustus — fossor.

φύω (act. praes. φῡει, dor. φῠοντι. aor. I coni. φύσω. aor. II ind. ἔφῡς, ἔφῡσαν. opt. φῡη. inf. φῡμεναι. pf. πεφῠασι; dor. πεφῡκει, cf. δέδοικα. plpf. πεφῡκει, -εσαν. — pass. praes. φῠηται) I) trans. *gigno, edo, procreo* XVII 79: ἀλλ' οὔτις (ἄπειρος) τόσα φύει ὅσα χθαμαλὰ Αἴγυπτος. de membro corporis IX 30: (φαίνετε δ' ᾠδάς, —) μή πω ἐπὶ γλώσσας ἄκρας ὀλοφυγγόνα φύσω (vulg. μηκέτ' — φύσῃς): 'ne forte pustulam, fraudis a me commissae indicium, in lingua mea provocem'. — Pass. VIII 68: οὔτι καμεῖσθ', ὄκκ' αὖ πάλιν ἅδε φύηται: sc. ἁ ποία. — II) intr. *pascor, gignor, cresco, fio* 1) de plantis VII 75: (δρύες,) Ἱμέρα αἴτε φύοντι παρ' ὄχθαισιν ποταμοῖο. IV 24; cf. Il. VI 149: ὣς ἀνδρῶν γενεὴ ἡ μὲν φύει, ἡ δ' ἀπολήγει. perf. pro praes. XXV 20: κείνῃ ὅθι πλατάνιστοι ἐπηεταναὶ πεφύασι. perf. dor. XI 1: οὐδὲν πὸτ τὸν ἔρωτα πεφύκει φάρμακον ἄλλο, cf. V 33. 93; v. δέδοικα. plpf. pro ipf. XIII 40: περὶ δὲ θρύα πολλὰ πεφύκει (var. πεφύκῃ). XXII 40: ὑψηλαὶ δὲ πεφύκεσαν ἀγχόθι πεῦκαι. — 2) de personis aor. sec. XIX 8: τυτθὸς μὲν ἔφυς (e coni. scr. pro ἔῃς). XV 94: μὴ φύη, Μελιτῶδες, ὃς ἁμῶν καρτερὸς εἴη. XXV 39: κακοῖσιν ἐοικότα φύμεναι αὐτόν. c. praep. XXII 213: αὐτοί τε κρατέοντε καὶ ἐκ κρατέοντος ἔφυσαν. XIII 47: ταὶ δ' ἐν χερὶ πᾶσαι ἔφυσαν, qua in formula Homerica num tmesis sit statuenda dubitatur; v. ἐμφύω.

φώκα *phoca,* vitula marina VIII 52: ὣς Πρωτεὺς φώκας, καὶ θεὸς ὤν, ἔνεμεν, cf. Od. IV 385 sequ. Verg. Georg. IV 395: turpes pascit sub gurgite phocas (Proteus).

φωλάς *in montium lustris delitescens* I 115: ὦ λύκοι, ὦ θῶες, ὦ ἀν' ὤρεα φωλάδες ἄρκτοι.

φωλεύω *in montium lustris delitesco* XXIV 83: (οἳ τάδ' ἐπῶρσαν) κνώδαλα φωλεύοντα βρέφος διαδηλήσασθαι: angues.

φωνά, φωνή (sg. φωνά, -ᾶς, -ᾷ, -ῇ, -άν) 1) *vox* a) hominis sive loquentis sive cantantis XXIII 18: οὕτω δ' ἀνενείκατο φωνάν. XXV 74: τρηχὺ δὲ φωνῇ | ἠπείλει μάλα πᾶσιν. XIII 59: ἀραιὰ δ' ἵκετο φωνά | ἐξ ὕδατος. XXIII 61: παιδὸς δ' ἐπενάχετο φωνά (σῶμα coni. Mein. III). X 37: ἁ φωνὰ δὲ τρύχνος: sc. ἐστίν. I 65: Θύρσιδος ἁδέα φωνά. VIII 82: ἁδύ τι τὸ στόμα τευ καὶ ἐφίμερος, ὦ Δάφνι,

φωνά. XX 27: (*ἐκ στομάτων δέ*) *ἔρρεέ μοι φωνὰ γλυκερωτέρα ἢ μέλι κηρῶ*. VII 88: (*ἐνόμενον*) *φωνᾶς εἰσαΐων*: τῆς σῆς φωνῆς. Schol. — b) animalium VIII 76: *ἀδεῖ ἁ φωνὰ τᾶς πόρτιος*. XVII 71: *ὁ δ' ὑψόθεν ἔκλαγε φωνᾷ | ἐς τρὶς ἀπὸ νεφέων μέγας αἰετός*. — 2) *lingua*, dialectus Ep. XVII 1: *ἅ τε φωνὰ Δώριος χὠνήρ*.

φωνέω (praes. φωνῶ, -εῖ. φωνέων, -εῦντες, -εῦντα. inf. aor. a dor. φωνάω derivatus φωνᾶσαι) *vocem edo* sive loquens sive cantans II 108: *οὐδέ τι φωνᾶσαι δυνάμαν, οὐδ' ὅσσον ἐν ὕπνῳ | κνυζεῦνται φωνεῦντα φίλαν ποτὶ ματέρα τέκνα*. II 43: *τρὶς τάδε φωνῶ*. XIV 20: *ἄμμες μὲν φωνεῦντες ἐπίνομεν*: 'edentes nomina deliciarum nostrarum'. XV 146: *πανολβία ὡς γλυκὺ φωνεῖ* (var. *γλυκυφωνεῖ*): sc. *ἁ ἀοιδός*. XVI 44: *δεινὸς ἀοιδὸς ὁ Κήιος αἰόλα φωνέων | βάρβιτον ἐς πολύχορδον*.

φώριος *furtivus* XXVII 67: *ἄνυστο δὲ φώριος εὐνή*.

φώς *homo, vir* XXV 50: *ἄλλον δ' ἄλλον ἔθηκε θεὸς ἐπιδευέα φωτῶν*. XVII 77: *ἔθνεα μυρία φωτῶν*. XII 12: *δίω δή τινε τώδε μετὰ προτέροισι γενέσθην | φῶθ'*: 'par virorum — plane divinum'.

X

χά, χαί = *καὶ ἁ, καὶ αἱ*, q. v.

χαίνω *hisco, hio* XXII 125: *ἐκ δ' ἐχύθη μέλαν αἷμα θοῶς κροτάφοιο χανόντος*. XXV 234: *λαμυροὺς δὲ χανὼν ὑπ' ὀδόντας ἔφηνε*: sc. leo immane hians, cf. Verg. Aen. X 726.

χαίρω (praes. χαίρω. χαίροις, -οι. χαῖρ(ε), χαιρέτω, χαίρετ(ε). χαίρειν. χαίρων, -οντας, οισα. aor. χάροις Syr. 16. ἐχάρη, χαρείης. pf. κεχαρημένος) 1) *gaudeo, laetor*, abs. VIII 88: *ὁ παῖς ἐχάρη*. XXII 55: *χαίρω πῶς, ὅτε τ' ἄνδρας ὁρῶ, τοὺς μὴ πρὶν ὄπωπα;*: 'schöne Freude!' XXIII 62: *χαίρετε τοὶ φιλέοντες· ὁ γὰρ μισῶν ἐφονεύθη*. Syr. 16: *ψυχὰν — χάροις*. XVIII 49. XXVI 33. 35. XV 149: *καὶ ἐς χαίροντας ἀφίκευ*. VIII 40: *χαίρων ἄφθονα πάντα νέμοι*. XXIV 56. — c. dat. XVII 23: *χαίρων υἱωνῶν περιώσιον υἱωνοῖσιν, | ὅττι σφέων Κρονίδης μελέων ἐξείλετο γῆρας*. — c. gen. XXVII 70: *κεχαρημένος εὐνᾶς* (Ahr. *κεκορημένος*). — c. praep. *ἐπί* XVIII 58: *γάμῳ ἐπὶ τῷδε χαρείης*. — c. part. XV 131: *νῦν μὰν Κύπρις ἔχοισα τὸν αὐτᾶς χαιρέτω ἄνδρα*. — sequ. *ὁθούνεκεν* XXV 76. — 2) salutandi est formula et advenientibus et discedentibus, ut lat. *salvere, valere;* a) XXII 54: *χαῖρε, ξεῖν', ὅτις ἐσσί*: salve, cf. II 14. XIV 1: *χαίρειν πολλὰ τὸν ἄνδρα Θυώνιχον* (sc. *λέγω* v. *κελεύω*). — b) II 165: *χαῖρε, Σελαναία λιπαρόχροε, χαίρετε δ' ἄλλοι | ἀστέρες*: vale — valete, cf. I 116. 117. 144. IX 28. XV 149. XVII 135. XXII 214. Ep. XIV 1: *χαιρέτω οὗτος ὁ τύμβος*. XXIII 26: *ἄρτι δὲ χαίρειν | τοῖσι τεοῖς προθύροις ἐπιβάλλομαι*. II 163: *ἀλλὰ τὺ μὲν χαίροισα ποτ' Ὠκεανὸν τρέπε πώλους, | πότνι'*: h. e. *χαῖρε καὶ τρέπε*. porro de iis quos in malam rem abire iubemus vel quos cum contemptu relinquimus XVI 64: *χαιρέτω ὅστις τοῖος*: valeat. XXVII 15: *χαιρέτω ἁ Παφία· μόνον ἵλαος Ἄρτεμις εἴη*.

χαίτα (sg. χαίταν. pl. χαῖται, χαίτας) *coma, caesaries* (*αἱ κεχυμέναι τρίχες*. Hesych.) 1) hominum XX 8: *ὡς μαλακὸν τὸ γένειον ἔχεις, ὡς ἀδέα χαίταν*: ironice dictum. XX 23: *χαῖται δ' οἷα σέλινα περὶ κροτάφοισι κέχυντο*. Ad. 2: *ὡς εἶδε νεκρὸν ἤδη | στυγνὰν ἔχοντα χαίταν*. — 2) animalium: *iuba* XXV 224: *ἀμφὶ δὲ χαίτας | αὐχμηρὰς πεπάλακτο φόνῳ χαροπόν τε πρόσωπον*: leo. — 3) plantarum VI 15: *ἁ δὲ καὶ αὐτόθε τοι διαθρύπτεται, ὡς ἀπ' ἀκάνθας | ταὶ καπυραὶ χαῖται, τὸ καλὸν θέρος ἁνίκα φρύγει*: 'pappi'.

χαλά *unguis* lupi Ep. VI 4: *τραχὺς γὰρ χαλαῖς ἀμφεπίαξε λύκος*.

χάλαζα *grando* XXII 16: (*παταγεῖ δ' εὐρεῖα θάλασσα*) *κοπτομένα πνοιαῖς τε καὶ ἀρρήκτοισι χαλάζαις*.

χαλάζω (pro *χαλάω*) *laxo, remitto*, aor. dor. XXI 51: *καὶ νύξας ἐχάλαξα, καὶ οὐ φεύγοντος ἔτεινα* (e coni. Herm. scr. pro *χαλέξας* v. *χαλέψας*).

χαλεπαίνω *irascor, infensus sum* XXV 81: *ᾔδει* (*κύων*) *δ' ᾧ τε χρὴ χαλεπαινέμεν ᾧ τε καὶ οὐκί*.

χᾰλεπός (sg. m. χαλεπός, aeol. χαλέπω ci. XXIX 40. f. χαλεπά, -ᾶς; aeol. χαλέπας ci. XXX 24. n. χαλεπόν, aeol. χαλέπω ci. XXX 1. — pl. m. χαλεποί, aeol. χαλέπων ci. XXX 18. χαλεποῖς. f. χαλεπαί. — comp. χαλεπώτερα. — adv. aeol. χαλέπως ci. XXIX 22) *gravis*, *molestus*, *durus*, *periculosus* 1) de rebus XXII 9: χαλεποῖς ἐνέκυρσαν ἀήταις. XXVII 28: χαλεπὸν βέλος Εἰλειθυίης. XXX 18: ξέννον τῶν χαλέπων (cod. χαλεπῶν) παῖδος ἐρώτων. XXIX 40: πανσάμενος χαλέπω πόθω (Ziegl. pro χαλεπῶ). XXX 1: Ὤιαι τῶ χαλέπω (cod. χαλεπῶ) καἰνομόρω τῶδε νοσήματος: amoris, cf. II 95: χαλεπᾶς νόσω. XXX 24: χαλέπας — νόσω (cod. χαλεπαί). XXIX 22: ὁ δέ τοί κ' Ἔρος οὐ χαλέπως ἔχοι (Ziegl. pro χαλεπῶς). — XXVI 28: εἰ καὶ χαλεπώτερα τῶνδε μογῆσαι. est praedic. XVI 69: χαλεπαὶ γὰρ ὁδοὶ τελέθουσιν ἀοιδοῖς | κουράων ἀπάνευθε Διός. X 11: χαλεπὸν χορίω κύνα γεῦσαι: 'molestum est, es ist misslich'; cf. XXV 67. — 2) de personis XIII 71: χαλεπὰ (Ahr. et Ziegl. c. var. χαλεπός) γὰρ ἔσω θεὸς ἧπαρ ἄμυσσεν: Venus. VIII 15: χαλεπὸς ὁ πατήρ μευ | χὰ μάτηρ. XXII 145: δαιμόνιοι, τί μάχης ἱμείρετε; πῶς δ' ἐπὶ νύμφαις | ἀλλοτρίαις χαλεποί;

χάλκειος v. **χάλκεος.**

χαλκεοθώρηξ *aeneo thorace armatus* XXII 136: (Κάστορ) Τυνδαρίδη, ταχύπωλε, δορυσσόε, χαλκεοθώρηξ.

χαλκεοκάρδιος *pectus habens aeneum* h. e. infractum XIII 5: ὡμφιτρύωνος ὁ χαλκεοκάρδιος υἱός.

χαλκέον *aes*, *cymbalum s. cymbala* II 36: ἁ θεὸς ἐν τριόδοισι. τὸ χαλκέον ὡς τάχος ἄχει (var. χάλκεον, χαλκεῖον, vulg. χαλκίον), cf. Verg. Georg. IV 64: quate cymbala circum. Tibull. I 8, 22: aera repulsa sonent.

χάλκε(ι)ος *aeneus* XXIV 4: χαλκείαν κατέθηκεν ἐς ἀσπίδα: infantes. II 30: χὡς δινεῖθ' ὅδε ῥόμβος ὁ χάλκεος ἐξ Ἀφροδίτας. XIII 39: χάλκεον ἄγγος ἔχων: ad aquandum. Ep. XVII 3: ὦ Βάκχε, χάλκεόν νιν ἀντ' ἀλαθινοῦ | τὶν ὧδ' ἀνέθηκαν. Ep. XX 7: (τοῦτον) ἕστασ' ἐνθάδε χάλκεον ποιήσας.

χαλκός *aes* h. e. arma ex aere facta XVII 94: (πολλοὶ δέ μιν ἀσπιδιῶται) χαλκῷ μαρμαίροντι σεσαγμένοι ἀμφαγέρονται. XXII 203: (ἔγκατα δ' εἴσω) χαλκὸς ἄφαρ διέχευεν: ensis.

χᾰλκυόνες = καὶ ἀλκυόνες, q. v.

Χάλκων *Chalco* VII 5: ἀπὸ Κλυτίας τε καὶ αὐτῶ | Χάλκωνος, Βούριναν ὃς ἐκ ποδὸς ἄνυσε κράναν: Εὐρύπυλος ὁ Ποσειδῶνος υἱὸς Κῴων βασιλεύων γήμας Κλυτίαν τὴν Μέροπος Χάλκωνα καὶ Ἀνταγόραν ἔτεκεν, ἀφ' ὧν οἱ ἐν Κῷ εὐγενεῖς. Schol.

χᾰμαί *humi* XVIII 43: στέφανον λωτῶ χαμαὶ αὐξομένοιο.

χᾰμεύνα, χᾰμευνίς *stibadium humi stratum* XIII 33: πολλοὶ δὲ μίαν στορέσαντο χαμεύναν. deminut. VII 133: ἔν τε βαθείαις | ἁδείας σχοίνοιο χαμευνίσιν ἐκλίνθημες | ἔν τε νεοτμάτοισι γεγαθότες οἰναρέαισιν (codd. χαμεύνησιν, χαμευνῆσιν, χαμεύναις): 'in molliculis torulis'.

χαμευνίς v. **χαμευνα.**

χαμῖν = καὶ ἀμῖν, q. v.

χανδάνω *capio*, *complector* XIII 57: ῥόπαλον, τό οἱ αἰὲν ἐχάνδανε δεξιτερῇ χείρ.

χᾱός *probus* VII 4: δύο τέκνα Λυκωπέος, εἴ τί περ ἐσθλόν | χαῶν τῶν ἐπάνωθεν, ἀπὸ Κλυτίας τε καὶ αὐτῶ | Χάλκωνος (ex Ameis. emend. scr. pro vulg. χαῶν, Ahr. λαῶν, Briggs. παῶν): 'ex probis atavis'; εὐγενῶν, πλουσίων παρὰ Λακεδαιμονίοις. Gloss.

χᾰράσσω *sculpo*, *incido* XVII 31: σιδάρειον σκύταλον κεχαραγμένον ὄζοις: nodosum, cf. Verg. Ecl. V 90: pedum — formosum paribus nodis atque aere. — c. acc. XXIII 46: γράψον καὶ τόδε γράμμα, τὸ σοῖς τοίχοισι χαράξω.

χᾰρίεις (sg. m. χαρίεντος, -ι, -α. f. χαρίεσσ(α). pl. n. χαρίεντα) *venustus, elegans, pulcher* 1) de rebus XV 79: (τὰ ποικίλα πρᾶτον ἄθρησον·) λεπτὰ καὶ ὡς χαρίεντα. θεῶν χερνήματα φασεῖς, cf. Od. X 222: οἷα θεάων λεπτά τε καὶ χαρίεντα καὶ ἀγλαὰ ἔργα πέλονται. — 2) de personis a) masc. VIII 1: Δάφνιδι τῷ χαρίεντι. XIII 7: τῶ χαρίεντος Ὕλα. II 115: τὸν χαρίεντα — Φιλῖνον. XX 18: με τὸν χαρίεντα. XII 20: τοῦ χαρίεντος ἀΐτεω. Ep. IV 13: τῷ χαρίεντι Πριήπῳ. — b) fem. XIV 8: ἁ χαρίεσσα Κυνίσκα. III 45: μάτηρ ἁ χαρίεσσα περίφρονος Ἀλφεσιβοίης. saepius in compellatione III 6 = IV 38: ὦ χαρίεσσ' Ἀμαρυλλί. X 26 = 36: Βομβύκα χαρίεσσα. XI

30: *χαρίεσσα κόρα.* XVIII 38: *ὦ καλὰ ὦ χαρίεσσα κόρα.*

χᾰρίζομαι (praes. *χαριζόμενον, -μένα.* aor. dor. *χαρίξῃ. χάρισαι.* pf. *κεχαρισμένος, -ον*) *rem gratam facio, gratificor* XV 109: *τὶν* (Veneri) *δὲ χαριζομένα — ἀτιτάλλει Ἄδωνιν.* V 71: (*μήτε Κομάτᾳ*) *ἐς πλέον εὐθύνῃς, μήτ' ὦν τύγα τῷδε χαρίξῃ.* part. pf. *κεχαρισμένος* gratus, acceptus XVI 68: *δίζημαι δ', ὅτινι θνατῶν κεχαρισμένος ἔνθω | σὺν Μοίσαις,* cf. XXIV 134. Ep. X 1. — c. acc. rei XXIII 41: *κἂν νεκρῷ χάρισαι τὰ σὰ χείλεα.* c. gen. part. XXV 188: (*ψεύδεσθαι ὁδοιπόρον ἀνέρ' ἔφαντο*) *γλώσσης μαψιδίοιο χαριζόμενον παρεοῦσιν,* cf. Od. I 140: *χαριζομένη παρεόντων.*

χᾰρις (sg. *χάρις, -ιτι, -ιν*) 1) *gratia* XXII 168: *χάρις δ' οὐχ ἕσπετο μύθοις.* XXVIII 24: *ἡ μεγάλα χάρις | δώρῳ σὺν ὀλίγῳ.* V 37: *ἴδ' ἁ χάρις ἐς τί ποθέρπει.* Ep. XVII 10: *μεγάλα χάρις αὐτῷ.* Ep. XVIII 3: *ἐξεῖ τὰν χάριν ἁ γυνὰ ἀντὶ τήνων | ὧν τὸν κοῦρον ἔθρεψε.* II 130: *νῦν δὲ χάριν μὲν ἔφαν τᾷ Κύπριδι πρᾶτον ὀφείλειν.* V 69: (*μήτ' ἐμέ*) *ἐν χάριτι κρίνῃς*: 'in gratiam meam'. (de XXX 6 v. *χάρισμα.*) c. gen. Ep. VII 5: *Ἠετίωνι χάριν γλαφυρᾶς χερὸς ἄκρον ὑποστάς | μισθόν.* — 2) plur. ***Χάριτες*** *Gratiae* deae XVI 104: *ὦ Ἐτεόκλειοι Χάριτες* (var. *θυγατέρες, θυγατρές*; Iunt. *θύγατρες*) *θεαί, ὦ Μινύειον | Ὀρχομενὸν φιλέοισαι*: *διὰ τὸ Ἐτεοκλέα τὸν Κηφισοῦ πρῶτον ἀποθῦσαι Χάρισιν ἐν Ὀρχομενῷ τῷ Μινυείῳ.* Schol. XVI 108: *καλλείψω δ' οὐδ' ὔμμε· τί γὰρ Χαρίτων ἀγαπητόν | ἀνθρώποις ἀπάνευθεν; ἀεὶ Χαρίτεσσιν ἅμ' εἴην*: Gratiae enim favent poetis, cf. XVI 6: (*τίς*) *ἡμετέρας Χάριτας πετάσας ὑποδέξεται οἴκῳ | ἀσπασίως*; XXVIII 7: *Νικίαν, Χαρίτων ἱμεροφώνων ἴερον φύτον.*

χάρισμα *gratia* XXX 6: *ἅπαν τοῦτο χάρισμ', αἴ τι παραύαις γλύκυ μειδίαι* (cod. *χάρις*).

χᾰροπός *alacri vegetoque vultu insignis* XX 25: *ὄμματά μοι γλαυκᾶς χαροπώτερα πολλὸν Ἀθάνας.* XII 35: *τὸν χαροπὸν Γαρυμήδεα.* de fervidis trucibusque oculis leonis XXV 142: *σκύλος αὖον ἰδὼν χαροποῖο λέοντος.* 225: *αὐχμηρὰς πεπάλακτο φόνῳ χαροπόν τε πρόσωπον.*

χασμέομαι (ion. et dor. pro *χασμάομαι*) *inhio* IV 53: *εἰς ταύταν* (sc. *τὰν πόρτιν*) *ἐτύπην χασμεύμενος* (Ahr. c. var. *χασμώμενος*).

χεῖλος (sg. *χείλεος, -ευς, -ει, χεῖλος.* pl. *χείλεα, -εσι, -εα, -η*) *labrum, labra* 1) hominum XI 33: *ἧς δ' ὀφθαλμὸς ἔπεστι, πλατεῖα δὲ ῥὶς ἐπὶ χείλει.* XX 9: *χείλεά τοι νοσέοντι.* XXIII 11: *ἄγρια δ' αὐτῷ | χείλεα.* usurpantur autem labra in dicendo et cantando XXV 65: *ἂψ δ' ὄκνῳ ποτὶ χεῖλος ἐλάμβανε μῦθον ἰόντα.* I 129: *ἐκ κηρῶ σύριγγα καλὰν περὶ χεῖλος ἑλικτάν.* in ridendo VII 20: *γέλως δέ οἱ εἴχετο χείλευς.* XX 13: *χείλεσι μυχθίζοισα.* XXIII 7: *οὐκ ἀμάρυγμα | χείλεος.* in osculando XII 32: *ὅς δέ κε προσμάξῃ γλυκερώτερα χείλεσι χείλη.* XXIII 41: *κἂν νεκρῷ χάρισαι τὰ σὰ χείλεα.* XX 4: *ἀστικὰ χείλεα θλίβειν.* XV 130: *οὐ κεντεῖ τὸ φίλαμ', ἔτι οἱ περὶ χείλεα πυρρά.* XXVII 6. 17. 18. Ad. 38. in bibendo VII 70: (*πίομαι*) *αὐταῖσιν κυλίκεσσι καὶ ἐς τρύγα χεῖλος ἐρείδων.* I 59: *οὐδέ τί πω ποτὶ χεῖλος ἐμὸν θίγεν* (*τὸ δέπας*). XXIII 25: *ἦν ὅλον αὐτὸ λαβὼν ποτὶ χεῖλος ἀμέλξω.* XXII 63: *γνώσεαι, εἴ σευ δίψος ἀνειμένα χείλεα τέρσει.* — 2) rerum: margo I 29: *τῶ* (*δέπαος*) *περὶ μὲν χείλη μαρύεται ὑψόθι κισσός,* cf. Od. IV 616: *χρυσῷ δ' ἐπὶ χείλεα κεκράανται.*

χεῖμα *hiems* IX 20: *ἔχω δέ τοι οὐδ' ὅσον ὤραν | χείματος ἢ νωδὸς καρύων ἀμύλοιο παρόντος.* VII 111: *εἴης δ' Ἠδωνῶν μὲν ἐν ὤρεσι χείματι μέσσῳ | Ἕβρον πὰρ ποταμόν.*

χειμαίνει *hiemat* IX 19: *ἐν πυρὶ δὲ δρυίνῳ χόρια ζεῖ, ἐν πυρὶ δ' αὖαι | φαγοί, χειμαίνοντος*: 'hieme saeviente, quum hiemat'.

χειμάρρους *hieme fluens v. torrens* XXII 49: *πέτροι ὀλοίτροχοι, οὕστε κυλίνδων | χειμάρρους ποταμὸς μεγάλαις περιέξεσε δίναις.*

χειμέριος *hibernus* Ep. VIII 2: *χειμερίης μεθύων μηδαμὰ νυκτὸς ἴοις* (Brunck. *χειμερίας*).

χειμών 1) *tempestas* horrida cum procellis praecipitibus coniuncta VIII 57: *δένδρεσι μὲν χειμὼν φοβερὸν κακόν, ὕδασι δ' αὐχμός.* — 2) *tempus hibernum* XI 36: *τυρὸς δ' οὐ λείπει μ' οὔτ' ἐν θέρει οὔτ' ἐν ὀπώρᾳ, | οὐ χειμῶνος ἄκρω.* XVIII 27: (*διέφανε πρόσωπον*) — *ἅτε λευκὸν ἔαρ χειμῶ-*

νος ἀνέντος. XII 8: ἔαρ χειμῶνος (ἥδιον). XI 58: τὰ μὲν θέρεος, τὰ δὲ γίνεται ἐν χειμῶνι.

χείρ (sg. χείρ, χειρός, χερός; χειρί, χερί; χεῖρα, χέρ(α). — du. g. χειροῖν, a. τὼ χέρε. — pl. χεῖρες, χέρες; χειρῶν, χερῶν; χείρεσσι(ν), χερσί(ν); χεῖρας, aeol. χέρρας XXVIII 9.) *manus* hominum v. deorum 1) manus cum brachio cohaerens, brachium VII 104: ἄκλητον κείνοιο φίλας ἐς χεῖρας ἐρείσαις. XXII 129: ἀνέσχεθε νεῖκος ἀπανδῶν | ἀμφοτέρας ἅμα χεῖρας. XXIII 48: τὼ χέρε τεινόμενος. XXII 65: εἰς ἐνὶ χεῖρας ἄειρον, ἐναντίος ἀνδρὶ καταστάς. 3: χεῖρας ἐπιζεύξαντα μέσας βοέοισιν ἱμᾶσιν, cf. Verg. Aen. V 403: duroque intendere brachia tergo h. e. induere caestum. — 2) manus ipsa XIX 2: ἄκρα δὲ χειρῶν | δάκτυλα. XV 66: δὸς τὰν χέρα μοι. XXVIII 9: δῶρον Νικιάας εἰς ὀλόχω χέρρας ὀπάσσομεν. XIX 3: χέρ' ἐφύση. XI 55: τὰν χέρα τευς ἐφίλασα. XX 9: χέρες δέ τοι ἐντὶ μέλαιναι. XIII 47: ταὶ δ' ἐν χερὶ πᾶσαι ἔφυσαν. II 139: χειρὸς ἐφαψαμένα. XVII 65: καθαπτομένα χείρεσσι φίλῃσιν. XVI 16: ὑπὸ κόλπῳ χεῖρας ἔχων. III 41: μᾶλ' ἐν χερσὶν ἑλών. XXVI 7: χερσὶν ἑλοῖσαι. XXIV 54: θῆρε δύω χείρεσσιν ἀπρὶξ ἀπαλαῖσιν ἔχοντα. XVII 134: χεῖρας φοιβήσασα μύροις. 37: κόλπον ἐς εὐώδη ῥαδινὰς ἐσεμάξατο χεῖρας. XXV 18: αὖλις δέ σφισιν ἥδε τεῆς ἐπὶ δεξιὰ χειρός | φαίνεται. XXVII 17. 18. 50. — utiles autem sunt manus maxime a) ad pugnandum XXII 146: γυμναὶ δ' ἐν χερσὶ μάχαιραι. XXIII 5: (τόξα) χερσὶ κρατεῖ. XXV 236: ὁ πρὶν (ὀιστὸς) ἐτώσιος ἔκφυγε χειρός. XXII 196: τοῦ μὲν ἄκρην ἐκόλουσεν ἐπὶ σκαιὸν γόνυ χεῖρα | φάσγανον ὀξὺ φέροντος. XIII 57: ῥόπαλον, τό οἱ αἰὲν ἐχάνδανε δεξιτερὴ χείρ. XXV 253: ἐγὼ δ' ἑτέρηφι βέλεμνα | χειρὶ προεσχεθόμην καὶ ἀπ' ὤμων δίπλακα λώπην, | τῇ δ' ἑτέρῃ ῥόπαλον — ἀείρας | ἤλασα κὰκ κεφαλῆς. XXII 210: χερῶν δέ οἱ ἔκβαλε τυκτήν | μάρμαρον. XXV 176: (δέρμα θηρὸς) χειρῶν καρτερὸν ἔργον. XVI 89: δυσμενέων ὅσα χεῖρες ἑλωβήσαντο κατάκρας. XXII 174: χεῖρας ἐρωήσουσιν ἀποσχομένῳ ὑσμίνης. — XXV 145: τοῦ μὲν ἄναξ προσιόντος ἐδράξατο χειρὶ παχείῃ | σκαιοῦ ἄφαρ κέραος. 266: ἧγχον δ' ἐγκρατέως στιβαρὰς σὺν χεῖρας ἐρείσας. XXIV 26. — de pugilibus XXII 80: σπείραισιν ἐκαρτύναντο βοείαις | χεῖρας καὶ περὶ γυῖα μακροὺς εἴλιξαν ἱμάντας. 109: ἐς στῆθός τε καὶ ἴξὺν χεῖρας ἐνώμα, cf. 3. 65. 68. XXII 119: σκαιῇ μὲν σκαιὴν Πολυδεύκεος ἔλλαβε χεῖρα. 123: στιβαρῇ δ' ἅμα χειρί | πλῆξεν ὑπὸ σκαιὸν κρόταφον καὶ ἐπέμπεσεν ὤμῳ. 88: (ἵετο πρόσσω) χερσὶ τιτυσκόμενος. 102: τὸν μὲν ἄναξ ἐτάρασσεν ἐτώσια χερσὶ προδεικνύς | πάντοθεν. — b) ad conficiendum opus XXV 2: πανσάμενος ἔργοιο, τό οἱ μετὰ χερσὶν ἔκειτο. XXI 9: κεῖτο τὰ ταῖν χειροῖν ἀθλήματα. XXIV 74: μαλακὸν περὶ γούνατι νῆμα | χειρὶ κατατρίψοντι. XXV 250: τοῦ μὲν ὑπ' ἐκ χειρῶν ἔφυγεν τανύφλοιος ἐρινεός | καμπτόμενος. XVI 32: ὡσεί τις μακέλα τετυλωμένος ἔνδοθι χεῖρας. XXIV 107: ἄμφω χεῖρας ἔπλασσε | πυξίνα ἐν φόρμιγγι. Ep. VII 5: χάριν γλαφυρᾶς χερός. XXII 33: πυρειά τε χερσὶν ἐνώμων. X 55: μή τι τάμῃς τὰν χεῖρα καταπρίων τὸ κύμινον.

χειρόπληθής *manum implens,* tam magnus ut manum impleat XXV 63: χειροπληθῆ τε κορύνην.

Χείρων *Chiron* Centaurus VII 149: ἆρά γέ πα τοιόνδε Φόλῳ κατὰ λάινον ἄντρον | κρατῆρ' Ἡρακλῆι γέρων ἐστήσατο Χείρων; v. Φόλος.

χελῑδόνιον *chelidonium,* 'fortasse *arum maculatum L.*' XIII 41: κυάνεόν τε χελιδόνιον χλωρόν τ' ἀδίαντον.

χελῑδών *hirundo* XIV 39: μάστακα δοῖσα τέκνοισιν ὑπωροφίοισι χελιδών | ἄψορρον ταχινὰ πέτεται βίον ἄλλον ἀγείρειν.

χερείων *deterior, inferior* XXVII 42: ἀλλ' οὐ σέθεν εἰμὶ χερείων. II 15: φάρμακα ταῦτ' ἔρδοισα χερείονα μήτε τι Κίρκης | μήτε τι Μηδείας.

